κούρην δ' οὐ γαμέω Ἀγαμέμνονοσ Ἀτρεΐδαο,

---

372. *οὔ κεν* § 326] *οὐκ ἂν* Par. 2767 al., *οὐδ' ἂν* *Ω*. || 374. *τι* Knight] *μὲν*. || 375. *οὔ κεν* § 326] *οὐκ ἂν*. || 377. (*ϝ*)*οι* A] *εὗ* C D T. Eadem varietas *Y* 464 *Ω* 293, 311; cf. *Z* 234 et § 92. || 379. *καὶ ἐϝεικοσάκισ* Bentley] *τε καὶ εἰκ*. || 381. *οὐδ' . . . οὐδ'*] *ἠδ' . . . ἠδ'* A, *οὐδ' . . . ἠδ'* L (cf. *O* 409). — *Ὀρχομενὸν*] *Ἐρχ*. l. a. in A (sic urbs ab ipsis incolis vocabatur). Cf. *B* 511. || 382. *ὅθι*] *ἧι* l. a. in A. || 383 sq. Spurii? cf. comment. || 383. *ἑκάστασ*] sic Ar., *-ην* l. a. ant., *-ηι* D. Neglectum est *ϝ*. || 386. *πείσει'*(*ε*) Barnes] *πείσει*. Cf. *χ* 63 et § 113. Eadem res est *Y* 102.

371, 375 sq. ἐξαπατήσειν, ἀπάτησε, ἐξαπάφοιτο] cf. vs. 344.

372. ἀναιδείην ἐπιϝειμένοσ] cf. A 149. — et 375. οὔ κεν] § 326.

376. -φοιτο ϝέπεσσι] -φοιτ' ἐπέεσσι Ω. — ϝάλισ δέ ϝοι] *sufficiunt quae hactenus fecit*: novam occasionem ei non praebebo equidem! Cf. οὐ ϝάλισ ὅττι . . .; vel ὡσ . . .; Ε 349 Ψ 670 Ρ 450 β 312, οὐκ ἀγαπᾶισ ὃ . . .; φ 289, ἦ ὄνοσαι ὅτι . . .; Δ 539 al.

— ϝέκηλοσ | ϝερρέτω] *pereat modo, in malam rem quominus abeat ne repugnet!* Irridentis nunc est ϝέκηλοσ, ut quod apud comicum de Megarensibus esurientibus dicitur: eos πράττειν ὅπωσ τάχιστα καὶ κάκιστα ἀπόλωνται (Ar. Ach. 755 sq.).

378. ἐν καρὸσ αἴσηι] *tantum quantum floccum.* Vox κάρ †, quae ad verbum κείρειν videtur referenda; cf. οὐδ' ἀκαρῆ Ar. Vesp. 541 al.

382. Aegypti in Iliade alibi non fit mentio, in Odyssea saepius. De vocis Αἰγυπτίασ syllaba secunda cf. § 28.

384. ἐξοιχνεῦσι] § 7 et 191. In bellum cum itur, e singulis Thebarum Aegyptiarum portis centum currus bellici prodeunt: aliquanto igitur quam Troia ea urbs et maior est et potentior. — Sed versus 383 sq. postmodo additi videntur (del. Heyne).

οὐδ' εἰ χρυσείηι Ἀφροδίτηι κάλλοσ ἐρίζοι,
ϝέργα δ' Ἀθηναίηι γλαυκώπιδι ϝισοφαρίζοι·
οὐδέ μιν ὧσ γαμέω. ὃ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω,
ὅσ τίσ ϝοί τε ϝέϝοικε καὶ ὃσ βασιλεύτερόσ ἐστι.
αἲ γάρ κεν σαόωσι θεοὶ καὶ ϝοίκαδ' ἵκωμαι,
Πηλεύσ θήν μοι ἔπειτα γυναῖκά γε μάσσεται αὐτόσ!
πολλαὶ Ἀχαιίδεσ εἰσὶν ἀν' Ἑλλάδα τε Φθίην τε, 395b = λ 496
κοῦραι ἀριστήων, οἵ τε πτολίεθρα ῥύονται·
τάων ἥν κ' ἐθέλωμι φίλην ποιήσομ' ἄκοιτιν. 397a cf. 146
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸσ ἀγήνωρ,
γήμαντι μνηστὴν ἄλοχον, ϝεϝικυῖαν ἄκοιτιν,
κτήμασι τέρπεσθαι τὰ γέρων ἐκτήσατο Πηλεύσ.
οὐ γὰρ ἐμοὶ ψυχῆσ ἀντάξιον οὐδ' ὅσα φασὶ
Ϝίλιον ἐκτῆσθαι, ἐῢ ναιόμενον πτολίεθρον, 402 cf. A 164
οὐδ' ὅσα λάϊνοσ οὐδὸσ ἀφήτοροσ ἐντὸσ ἐϝέργει

---

403 *τὸ πρὶν ἐπ' εἰρήνησ, πρὶν ἐλθέμεν' υἷασ Ἀχαιῶν,* 403 = X 156

---

392. *τε ϝέϝοικε* Heyne] *τ' ἐπέοικε.* || 393. **αἲ γάρ κεν σαόωσι*] *ἢν γάρ δή με σόωσι* (*σάωσι* Apio, *σοῶσι* Tyrannio). Cf. § 326 et 191. || 394. *γε μάσσεται* Ar.] *γαμέσσεται Ω.* Cf. § 3. || 397. *ἐθέλωμι* Ar.] *-οιμι Ω.* || 398. *πολλὸν*] *πολλὰ* Ahrens. || 399. *γήμαντι*] sic Ar., *-ντα* a. ant. || 401. *ἐμοὶ*] sic Ar., *ἐμῆσ* G L. || 403. *Delevimus ex X petitum. Apta non sunt: *„etiamsi mihi dentur quae ... dari non iam possint".*

---

392. ϝέϝοικε] *convenit.* Item vs. 399 ϝεϝικυῖαν *quae mihi conveniat*, κατ' ἐμαυτὸν οὖσαν.

— βασιλεύτεροσ] quam sum ego. Non serio, ut ipse Agamemnon vs. 160, sed cum risu amaro Achilles Agamemnone inferiorem se ait.

394. *Ipse Peleus videlicet mulierem aliquam mihi petet.* Etiam non iuvante Agamemnone Achilli uxorem praebere poterit pater! Irridentis et dona a duce tam benevole tam liberaliter oblata prorsus contemnentis sunt particulae θην et γε et verbum μαίεσθαι ita adhibitum (ut si nos dicamus: *voor mij weten op te schommelen*).

395. ἀν' Ἑλλάδα τε Φθίην τε] *in patris mei dicione, in Hellade Achiva et in Phthia.* Cf. vs. 447 sq.

399. μνηστὴν ἄλοχον] *uxorem quam sponte mea petiverim*, non oblatam.

— ϝεϝικυῖαν] cf. vs. 392.

401–403. Cf. Ω 544–546.

403 et 408. ἐλθέμεν'(αι)] § 125.

404 sq. *Neque quam multa in Pythone saxosa celat limen lapideum Apollinis iaculatoris.* Cf. θ 80. Non *aedem* poeta cogitavit (cf. A 39), sed *antrum sacrum*, quale Apollinis fuit e. g. in arce Athenarum vel quale Maiae fuit antrum Cyllenium, id quoque thesauros ingentes continens, qui celebrantur h. Merc. 246—251. Illo aevo si qui νηοὶ Apollini Pythio identidem sunt structi, δάφνησ illi fuerunt sive *e lauri ramis compositi* (cf. Paus. X 4 § 5), neque dubium videtur quin ipsa caverna dei δάφνηισι κατηρεφὴσ fuerit, ut Cyclopis (ι 183). Sed poeta recentior, cui hymnus Apollinis Pythii

Φοίβου Ἀπόλλωνοσ, Πυθοῖ ἔνι πετρηέσσηι.
ληϊστοὶ μὲν γάρ τε βόεσ καὶ ϝίφια μῆλα,
κτητοὶ δὲ τρίποδέσ τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸσ δὲ ψυχὴ πάλιν ἐλθέμεν οὔτε ληϊστὴ
οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκοσ ὀδόντων. 409ᵇ = κ 328
μήτηρ γάρ τέ μέ φησι θεά, Θέτισ ἀργυρόπεζα,
διχθαδίασ Κῆρασ φερέμεν θανάτοιο τέλοσδε. 411ᵇ = Ν 602
εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστοσ, ἀτὰρ κλέοσ ἄφθιτον ἔσται·
εἰ δέ κε ϝοίκαδ' ἴωμι φίλην εἰσ πατρίδα γαῖαν,
ὤλετό μοι κλέοσ ἐσθλόν, ἐπὶ δϝηρὸν δέ μοι αἰὼν
ἔσσεται, οὐδέ κέ μ' ὦκα τέλοσ θανάτοιο κιχήηι. 416ᵇ cf. ρ 476
καὶ δέ κε τοῖσ' ἄλλοισιν ἐγὼ παραμυθησαίμην 417 cf. 684
ϝοίκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ 418-420 = 685 sqq.
Ϝιλίου αἰπεινῆσ· μάλα γάρ ϝεθεν εὐρύϝοπα Ζεὺσ
χεῖρα ἑϝὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ἀλλ' ὗμεσ μὲν ἰόντεσ ἀριστήεσσιν Ἀχαιῶν

---

405. *Φοίβου*] *νηοῦ* Zen. — *Πυθοῖ*] *Πυθῶν'* Bekker (cf. *B* 519 *λ* 581 et § 77). || 414. *ἴωμι* Nauck] *ἵκωμαι Ω*, quo servato pro *φίλην* Bentley coniecit *ἐμήν*, Heyne *ἰὼν* (coll. *ξ* 153). || 416. *κιχήηι*] *κιχείη(ι) Ω*; cf. § 122. Versum Zen. om., Ar. —— || 420. *ἑϝήν*] *θ' ἑήν* (et mox *τε λαοί*) Bentley, item vs. 687. Cf. § 44.

---

debetur, cuiusmodi νηόν mente sibi informaverit Apollini a Trophonio et Agamede structum, pro certo quidem effici nequit, veram tamen aedem ille videtur voluisse (h. Ap. 285—299). — Vox ἀφήτωρ † (a verbo ἀφιέμεναι).

407. ἵππων . . . κάρηνα] item βοῶν κάρηνα Ψ 260, νεκύων κάρηνα (Λ 158, 309) κ 521, 536 λ 29, 49, κεφαλαί Φ 336.

408. Infinitivus finalis ἐλθέμεναι ab adiectivis verbalibus suspenditur nunc, ut saepe a verbis finitis.

— οὔτε ληϊστὴ | οὔθ' ἑλετή] bis fere idem, nam sono magis quam vi differunt ληΐζεσθαι et αἱρέειν. Cf. Χ 203 et de adiectivi ληϊστή syllaba initiali § 17.

409. ἕρκοσ ὀδόντων] cf. Δ 350.

410—416. Cf. Α 352 sq. — Similia Euchenori Corinthio praedixit pater vates (cf. Ν 666—670).

410 sq. με . . . Κῆρασ φερέμεν] obiecti accusativus more solito praemittitur accusativo subiecti (cf. vs. 315): διχθάδιαι Κῆρέσ με φέρουσι θάνατόνδε, i. e. οἴσουσι, est enim hoc praesens vaticinantium, de quo cf. Θ 246. *Duo fata diversa me manent.*

413 et 415. ὤλετο . . . μοι] i. q. αἴσιμόν μοί ἐστι . . . ὀλέσθαι (ut vs. 245 est dictum). Cf. Θ 246.

417. δέ κε] § 326.

418. τέκμωρ | Ϝιλίου] cf. Η 30.

420. Cf. Δ 249 et de hiatu χεῖρα ἑϝήν § 44.

421. ὗμεσ] § 92.

ἀγγελίην ἀπόφασθε, — τὸ γὰρ γέρασ ἐστὶ γερόντων, — 422ᵇ = Δ 323
ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
ἥ κέ σφιν νῆασ σαόηι καὶ λαὸν Ἀχαιῶν 424 cf. 681
νηυσὶν ἔπι γλαφυρῆισ'· ἐπεὶ οὔ σφισιν ἥδε γ' ἑτοίμη,
ἣν νῦν ἐφράσσαντο, ἐμεῖ' ἀπομηνίσαντοσ. 426ᵇ = Τ 62
Φοῖνιξ δ' αὖθι παρ' ἧμι μένων κατακοιμηθήτω,
ὄφρα μοι ἐν νήεσσι φίλην εἰσ πατρίδ' ἕπηται 428 sq. cf. 691 sq.
αὔριον, αἴ κ' ἐθέληισιν· ἀνάγκηι δ' οὔ τί μιν ἄξω."
ὣσ ἔφαθ', οἳ δ' ἄρα πάντεσ ἀκὴν ἐγένοντο σιωπῆι, 430-432 cf. Θ 28 sqq.
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶσ ἀπέϝειπε.
ὀψὲ δὲ δὴ μετέϝειπε γέρων ἱππηλάτα Φοῖνιξ
δάκρυ' ἀναπρήσασ, περὶ γὰρ 'δϝίε νηυσὶν Ἀχαιῶν· 433ᵃ = β 81, 433ᵇ = Δ 557
„εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῆισι
πῦρ ἐθέλεισ ἀΐδηλον, ἐπεὶ χόλοσ ἔμπεσε θυμῶι, 436ᵇ = Ξ 207, 306 cf. Π 206
πῶσ κεν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκοσ, αὖθι λιποίμην 437 cf. 444

424. σαόηι Nauck] τε σόηι Ω (quae nihili est forma pro σαῶι vel σαοῖ); cf. σόηισ vs. 681. || 433. δάκρυ'(α)] sic, non δάκρυ, scribendum h. l. et Σ 124 β 81 λ 530; nam singularem numerum poeta eodem quidem sensu quo pluralem adhibuit (Α 357 Β 269 al.), sed hiatus post δάκρυ admittendus non videtur.

423—426. Cf. vs. 347.

423. ἀμείνω] § 85.

425. Irridentis verba: *optimum profecto consilium inierunt principes, cui non nisi una haec res obstat, quod ego obtemperare iis nolo.* De adi. ἑτοῖμοσ cf. Ξ 53.

426. ἐμεῖ'(ο)] § 92. — ἀπομηνίσαντοσ] cf. Β 772.

427—429. Denuo quoniam principes erant deliberaturi, res ferebat ut etiam Phoenix ad eos rediret, dein in suum ipsius tabernaculum abiret cubitum; non enim in Achillis tabernaculo dormire solebat (cf. vs. 658 sqq.). Sed Achilles eum iubet apud se manere, ut primo mane se comitetur in patriam redeuntem. Non inanes autem fallacesve minas nunc iacit iuvenis, sed ex animi sententia loquitur. Nempe cum legati eum Agamemnonis verbis supplices adierunt, denuo efferbuit ira diu fota et per turpem horum dierum inertiam perpetuo aucta (cf. Α 491 sq.); qua eo adductus est ut non solum dona oblata contemtim recusaret, sed et cum suis quam primum abiturum se profiteretur. Mox vero magis dubitanter: „cras deliberabimus" ait „placeatne abire an manere" (vs. 619; cf. etiam vs. 650—656), et plane vincet consilium honestius per quietem nocturnam. Sic etiam tum cum adempta ei est Briseis, „in patriam redibo!" clamabat furore abreptus (Α 169—171), nec tamen rediit, sed mansit ubi manere iubebant pudor et laudis studium (cf. vs. 412—415).

427. ἧμι] § 92.

429. αἴ κ'(ε)] § 326.

437. κεν] § 326.

οἶοσ! σοὶ δέ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺσ
ἤματι τῶι ὅτε σ' ἐκ Φθίησ Ἀγαμέμνον' ἔπεμπε, 439 = 253
νήπιον, οὔ πω ϝειδόθ' ὁμοιίοο πτολέμοιο 440 sq. cf. δ 818
οὐδ' ἀγορῆσ, ἵνα τ' ἄνδρεσ ἀριπρεπέεσ τελέθουσι.
τούνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ϝέργων.
ὦσ ἄρ' ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκοσ, οὔ κ' ἐθέλοιμι 444 cf. 437
λείπεσθ', οὐδ' εἴ πέρ μοι ὑποσταίη θεὸσ αὐτὸσ
γῆρασ ἀποξύσασ θήσειν νέον ἡβάοντα, 446ᵃ cf. h. Ven. 225
οἷον ὅτε πρῶτον 'λίπον Ἑλλάδα καλλιγύναικα,
φεύγων νείκεα πατρὸσ Ἀμύντοροσ Ὀρμενίδαο,
ὅσ μοι παλλακίδοσ πέρι 'χώσατο καλλικόμοιο,
τὴν αὐτὸσ 'φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν,
μητέρ' ἐμήν· ἣ δ' αἰὲν ἔμ' ἐλλισσέσκετο γούνων

---

438. *ἔπεμπε*] *ὄπαζε* vHerwerden (cf. *Ω* 461 al. et *Ψ* 360). || 440. *ὁμοιίοο πτολέμοιο* § 59] *-ίου π(τ)ολέμοιο.* || 441. **ἀγορῆσ*] *-ρέων* (vel *-ράων*). Cf. § 56 et ad *Γ* 273. Singulari aptius opponitur singularis (cf. *Α* 490 *Β* 370 *Δ* 400 *Ι* 33 *Ο* 283 *Σ* 106); adverbium *ἵνα* alibi apud Hom. plurali non iungitur. || 444. **ὦσ ἄρ' . . . οὔ κ'(ε)*] *ὡσ ἂν . . . οὐκ.* Cf. § 326. || 445. *πέρ* Nauck] *κέν.* Cf. *Ζ* 50. || 447. *οἷον*] *τοῖον* Zen. — *Ἑλλάδα καλλιγύναικα*] *Ὀρμένιον πολύμηλον* Demetrius Scepsius, *Ὀρμένιον πολύπυρον* l. a. apud Eust. ad *Β* 734; cf. comment.

---

440 sq. Iuvenis admodum et fere puer Achilles in bellum abiit. Cf. Α 352 sq.

440. ὁμοιίοο] cf. Δ 315.

444. ὦσ] hoc adverbium etiam Χ 348 sic enuntiatum aperit.

446. ἀποξύσασ] id fere quod ἀποψήσασ, ut *sordes* (cf. Herod. Mim. IV 17), vel quod ἀπολεπίσασ, ut anguis *exuvias* (cf. Aristot. Hist. Anim. V 15 § 6 Aristoph. Pac. 336 Lys. 670 al.). Proprium sensum verbum obtinet Ζ 269.

— ἡβάοντα] § 190 sq.

447 sq. *Amyntoris* igitur regnum poeta collocavit in Thessaliae regione meridionali, cui *Hellas* nomen erat. At *Pelei* regni haec pars dicitur Β 683 sq. Ι 395 Π 595 λ 496. Quae ita inter se conciliari possunt ut Amyntoris civitatem Pelei dicioni subditam fuisse statuamus; sed non concinit Κ 266, ubi Amyntor Ormeni filius *Eleone* habitasse dicitur, haec enim *Boeotiae* fuit urbs. Cf. Β 500 et similis ambiguitas Η 136—150. — *Ormenium* urbs quoniam sita fuit in Thessalia septentrionali (Β 734), fuere qui illud nomen in nostrum locum coniectura audaciore inveherent; sed potius statuendum est *Eleonis* nomen, ut aliarum urbium, e Thessalia in Boeotiam esse translatum ante poetae nostri aetatem (cf. Β 494). Recentiorem vero sensum voci Ἑλλάδι quominus h. l. vel vs. 478 tribuamus (cf. α 344), obstat contextus; non enim Graeciae partem alteram sed certam aliquam regionem nunc a Phoenice indicari oportet.

451. De gestu supplicantium cf. Α 500.

παλλακίδι προμιγήμεν', ἵν' ἐχθήρειε γέροντα.
τῆι 'πιθόμην καὶ ἔρεξα· πατὴρ δ' ἐμὸσ αὐτίκ' ὀϊσθεὶσ
πολλὰ κατηράετο, στυγερὰσ δ' ἐπεκέκλετ' Ἐρινῦσ,
μή ποτε γούνασ' ἐμοῖσιν ἐφέσσεσθαι φίλον υἱὸν 455 cf. π 443
ἐξ ἐμέθεν γεγαῶτα. θεοὶ δ' ἐτέλειον ἐπαράσ,
457 *Ζεύσ τε καταχθόνιοσ καὶ ἐπαινὴ Περσεφόνεια.* 457ᵇ cf. 569
462 *ἔνθ' ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ' ἐν φρεσὶ θυμὸσ* 462ᵇ cf. N 280
πατρὸσ χωομένοιο κατὰ μέγαρα στροφάεσθαι.
ἦ μὲν πολλὰ ϝέται καὶ ἀνεψιοὶ ἀμφὶσ ἐόντεσ
αὐτόθι λισσόμενοι κατερήτυον ἐν μεγάροισι, 465ᵇ cf. ι 31
πολλὰ δὲ ϝίφια μῆλα καὶ εἰλίποδασ ϝέλικασ βοῦσ 466 = Ψ 166; 466ᵇ = α 92 ι 46

---

458 *τὸν μὲν ἐγὼ 'βούλευσα κατακτάμεν' ὀξέϊ χαλκῶι·* 458ᵃ = ι 299
ἀλλά τισ ἀθανάτων 'τρέψε φρένασ, ὅσ ῥ' ἐνὶ θυμῶι
δήμου ἔθηκε φάτιν καὶ ὀνείδεα πόλλ' ἀνθρώπων, 460 cf. Z 351
ὡσ μὴ πατροφόνοσ μετ' Ἀχαιοῖσιν καλεοίμην.

---

452. *γέροντα*] *-ντι* l. a. in T (cf. δ 105). ‖ 453. *'πιθόμην καὶ ἔρεξα*] *οὐ πιθόμην οὐδ' ἔρξα* Aristodemus Nysaeensis, bonorum morum maiorem curam habens videlicet quam metri aut contextus; cui praeiverat quadamtenus Euripides insontem fingens Phoenicem. Similis varietas lectionis est N 658. Alterum verbum fortasse *ἔϝερξα* est scribendum (cf. § 224²). ‖ 455. *γούνασ' ἐμοῖσιν* l. a. ant.] *-σιν οἷσιν* Ω. — *ἐφέσσεσθαι*] sic Ar., *-σσασθαι* D, *-ζεσθαι* C. ‖ 457. *ἐπαινὴ*] *ἐπ' αὐτῶι* l. a. in T. ‖ 458—461. Om. Ω, affert Plutarchus Mor. 26 *f* (vs. 459 sq.ᵇ etiam Coriolan. 229 *b*, vs. 461 Mor. 72 *b*), qui ab Aristarcho perhibet eiectos esse ne quid detrimenti inde caperent mores iuventutis. Immo Ar. in quibusdam libris olim inventos non recepisse censendus est (cf. Ludwich Arist. I 73 II 479). Colorem habent Homericum, et per se non esse vituperandos suo iure ait Plutarchus; sed hoc loco molesti sunt potius quam necessarii. ‖ 459. *'τρέψε φρένασ*] *παῦσεν χόλον* Plut. Mor. 26 *f*. — *ῥ'(α)* Plut. Cor. 229 *b*] *γ'* idem Mor. 26 *f*; an **μ'(οι)*? Cf. § 13. ‖ 462. *ἔνθ' ἐμοὶ* A D] *ἔνθα μοι* C T. ‖ 464. *ἀμφὶσ ἐόντεσ*] sic Ar., *ἀντιόωντεσ* Dionysius Thrax, *ἐγγὺσ ἐόντεσ* l. a. in H. Cf. Ω 488 γ 486.

---

452. προμιγήμεν'(αι)] § 125. Intellege: *ante patrem.*

454. κατηράετο] § 191.

— Ἐρινῦσ] *pietatis* et omnino *legum naturae vindices*; cf. I 571 O 204 T 259, 418 Φ 412 β 135 (γ 270 sq.) λ 280 ρ 475. Aliter Erinyum nomen usurpatum est T 87 o 234, quibus locis *saevam* tantum *Necessitatem* significat, et υ 78, ubi „Erinysin tradere" id quod „in sedes mortuorum abripere" valet.

455 sq. Cf. E 408 et de locutione ἐπὶ γούνασι ἐφέσσασθαι τ 401.

456 sq. De re cf. Γ 278. Iuppiter καταχθόνιοσ †, χθόνιοσ dictus Hes. Oper. 465 Soph. Oed. C. 1606. A quo deo nomine magis quam re discrepant *Dis* (cf. vs. 569) et *Neptunus* γαιήϝοχοσ. Proserpinae epitheton ἐπαινή sive *horrenda* (= αἰνή) redit I 569 κ 491, 534, 564 λ 47.

463. στροφάεσθαι] § 191 et 248.

464. ἀμφὶσ ἐόντεσ] *intercedentes* (inter me et propositum), *obstantes mihi.* Item Ω 488; cf. atticum: ἐγένετό μοί τι μεταξύ *intercessit aliquid* et γ 486.

465. αὐτόθι] § 322.

ἔσφαζον, πολλοὶ δὲ σύεσ θαλέθοντεσ ἀλοιφῆι — 467b sq. = Ψ 32 sq.
εὑόμενοι 'τανύοντο διὰ φλογὸσ Ἡφαίστοιο,
πολλὸν δ' ἐκ κεράμων μέθυ 'πίνετο τοῖο γέροντοσ.
εἰνάνυχεσ δέ μοι ἀμφ' αὐτῶι παρὰ νύκτασ ἴαυον·
οἳ μὲν ἀμειβόμενοι φυλακὰσ ἔχον, οὐδέ ποτ' ἔσβη
πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσηι ἐϋερκέοσ αὐλῆσ, — 472b cf. φ 389 χ 449
ἄλλο δ' ἐνὶ προδόμωι, πρόσθεν θαλάμοιο θυράων.
ἀλλ' ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή, — 474a cf. h. Cer. 51; 474b = Θ 488
καὶ τότ' ἐγὼ θαλάμοιο θύρασ πυκινῶσ ἀραρυίασ
ῥήξασ ἐξῆλθον καὶ ὑπέρθορον ἑρκίον αὐλῆσ,
ῥεῖα, λαθὼν φύλακάσ τ' ἄνδρασ δμωιάσ τε γυναῖκασ.
'φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδοσ εὐρυχόροιο,
Φθίην δ' ἐξικόμην ἐριβώλακα, μητέρα μήλων, — 479b cf. Δ 222
εἰσ Πηλῆα ϝάναχθ'· ὃ δέ με πρόφρων ὑπέδεκτο, — 480b cf. β 387 ξ 54 υ 372 ψ 314
καί μ' ἐφίλησ' ὡσ εἴ τε πατὴρ ϝὸν παῖδα φιλήσηι
μοῦνον τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσι,
καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν,
'ναῖον δ' ἐσχατιὴν Φθίησ, Δολόπεσσι ϝανάσσων.
καί σε τοσοῦτον ἔθηκα, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,

---

472. ὑπ'] ἐν Ar.

---

467. σύεσ] cf. T 197.

468. εὑόμενοι] *dum adurebantur setae.* Quod sub divo factum quivis intellegit. Cf. β 300 ξ 426 et εὔστρα Ar. Eq. 1236.

469. ἐκ κεράμων] ἐκ τῶν πίθων (cf. E 387 et ψ 305). Item postea κεράμια = ἀμφορείδια sive στάμνια οἴνου (e. g. Menandr. Sam. 88). Dolia complura siccata sunt.

470. εἰνάνυχεσ] adv. sive neutrum sing. †; quod ad exemplum vocis εἰνάϝετεσ (Σ 400 al., a stirpe ϝετεσ) est deformatum.

472 sq. Et in aula, ubi hospitum erant cubilia (cf. Ω 643—650), fuit ignis, et ante forem cubiculi ipsius Phoenicis, de quo cubiculo cf. quae ad α 425 sq. sunt observata.

476. ἑρκίον αὐλῆσ] *murum quo aula a via publica secludebatur*; item σ 102. Cf. τειχίον sive *paries* π 165 al.

478. Ἑλλάδοσ] cf. vs. 447.

479. μητέρα μήλων] cf. I 141.

481 sq. Cf. imago π 17 sqq.

482. τηλύγετον] cf. Γ 175.

484. *Dolopum* apud H. non nisi h. l. fit mentio; cf. Herodot. VII 132.

485—495. *Te pro filio habui; matris loco tibi fui, non enim aderat vera mater quae te nutriret* (cf. A 358). — Phoenix igitur Achillem ἔθρεψε, Chiron autem eum quaedam διδάξαι dicitur Λ 832 (ut patrem Peleum? Cf. Π 143 sq.). Quem etiam nutrivisse eum et omnino educasse ait Pindarus, antiquum aliquod poema sequi se professus, Nem. III 75—111; item Euripides Iph. Aul. 708—710. Phoenix vero Homericus non τροφεὺσ tan-

ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκεσ ἅμ' ἄλλωι
οὔτ' εἰσ δαῖτ' ἴμεναι οὔτ' ἐν μεγάροισι πάσασθαι,
πρίν γ' ὅτε δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνεσσι καθέσσασ 488 sq. cf. π 443 sq.
ὄψοι' ἄσαιμι προταμὼν καὶ ϝοῖνον ἐπισχών.
πολλάκι μοι κατέδευσασ ἐπὶ στήθεσσι χιτῶνα
ϝοίνου ἀποβλύζων ἐν νηπιίηι ἀλέγεινῆι.
ὣσ ἐπὶ σοὶ μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα, 492 cf. Ψ 607 492^{b} = ε 223 θ 155
τὰ φρονέων, ὅ μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον 493^{b} cf. δ 7
ἐξ ἐμέ'· ἀλλὰ σὲ παῖδα, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,
'ποιεόμην, ἵνα μοί ποτ' ἀϝεικέα λοιγὸν ἀμύνηισ. 495^{b} = Π 32
ἀλλ' Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
νηλεὲσ ἦτορ ἔχειν. στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε·
καὶ μὲν τοὺσ θυέεσσι καὶ εὐχωλῆισ' ἀγανῆισι
λοιβῆι τε κνίσηι τε παρατροπάουσ' ἄνθρωποι.

---

501 *λισσόμενοι, ὅτε κέν τισ ὑπερβήηι καὶ ἁμάρτηι.*

---

486. *ἐθέλεσκεσ*] *-σκον* Duentzer (obstat *ἐγώ* vs. 488). || 488. *γούνεσσι* Ar. A T] *-να(σ)σι* Ω. — *καθέσσασ* § 220^2] *καθί(σ)σασ*. || 498. Om. Plat. Rep. 364 *d.* || 499. *μὲν τοὺσ θυέεσσι*] *τοὺσ μὲν θυσίαισι* Plat. l. l. || 500. *λοιβῆι . . . κνίσηι*] *-βῆσ . . . σησ* l. a. in A. || 501. Del. Duentzer (cum vs. 498—500). Cf. comment.

---

tum Achillis sed et διδάσκαλοσ est cogitandus. — Arte iungenda sunt verba: τὰ φρονέων, ὃ . . . ἀλλὰ κτέ. (vs. 493 — 495), *haec mecum reputans, proprium mihi non esse filium, sed te pro filio mihi esse.*

486 — 489. Neglegentior est verborum structura. *Semper mecum te habui,* ait Phoenix, *sive ad epulas aliquas eundum esset, sive in ipsis Pelei aedibus cenaremus; neque contentus eras nisi in genibus meis sedenti carnium mearum primam offam praeberem ego et e poculo meo gustare te sinerem.* Distinguuntur δαῖσ sive *epulae* et δεῖπνον sive *cena quotidiana*, quae *domi* fiebat. Simillima de Eurymacho puerulo ab Ulixe comiter excepto narrantur π 442 — 444; praeterea cf. Hector filiolum genibus insidentem medulla et adipe nutriens (X 489 — 491).

487. ἴμεναι] § 125.

494. ἐμέ'(ο)] § 92.

495. 'ποιεόμην] § 191.

— ἀμύνηισ] cf. A 158.

497. στρεπτοὶ] *qui flecti possint.* Item O 203, aliter Y 248. Cf. ἀκεστόσ N 115.

499. θυέεσσι] cf. Z 270.

501. λισσόμενοι] *obsecrandi* sive *optandi* hoc verbo (§ 220^1) apud Homerum non nisi mortales *ab aliis mortalibus* (vel caelites ab aliis caelitibus, e. g. A 502) aliquid petentes designantur. Postea demum, ut in spurio hoc versu, abiit in *precandi* notionem latius patentem (h. Ven. 185 Herodot. VI 61 al.), item forma brevior et recentior λίτεσθαι (h. XV 5 Ar. Thesm. 313 al.). Cf. germ. *bitten-beten*, gall. *prier*.

καὶ γάρ τε Λιταί εἰσι Διὸσ κοῦραι μεγάλοιο,
χωλαί τε ῥυσαί τε παραβλῶπέσ τ' ὀφθαλμώ,
αἵ ῥά τε καὶ μετόπισθ' Ἀάτησ ἀλέγουσι κιοῦσαι.
ἡ δ' Ἀάτη σθεναρή τε καὶ ἀρτίποσ, οὕνεκα πάσασ
πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν
βλάπτουσ' ἀνθρώπουσ· αἱ δ' ἐξακέονται ὀπίσσω.
ὃσ μέν τ' αἰδέσεται κούρασ Διὸσ ἆσσον ἰούσασ,
τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον εὐξαμένοιο·
ὃσ δέ κ' ἀνήνηται καί τε στερεῶσ ἀποϝείπηι,
λίσσονται δ' ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι
τῶι Ἀάτην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶσ ἀποτίσηι.
ἀλλ' Ἀχιλεῦ, πόρε καὶ σὺ Διὸσ κούρηισιν ἕπεσθαι

503. *ὀφθαλμώ* C[2]] *-μῶν* A C[1] D T (cf. *E* 659). || 506. *φθάνει*] *φθανέει* Zen. (item *Φ* 262). Cf. *B* 436. || 509. *εὐξαμένοιο*] *εὐχομένοιο* Ar. HL. Cf. *Λ* 381, 453 *Π* 236, 531 (*T* 257) *φ* 211.

502. *Nam etiam Preces sunt filiae Iovis.* Iuppiter non solum ξείνιοσ est et ἱκέσιοσ, sed etiam λιτάσ curat; neque *hospites* vel *supplices* neglegit neque eos qui ut sibi *ignoscatur* petunt. Particula γάρ ad versum 497 pertinet.

503—512. Sequitur imago allegorica, quacum cf. quae de *Culpa* dicuntur T 91—94 et quae de *Laudis studio* Δ 442 sq.; etiam quod *claudus* dicitur Vulcanus deus flammae vacillantis (cf. A 607) huc facit, nec non *fel iratis melle dulcius* dictum Σ 108—110. Praeterea cf. Herodot. VI 86 Hes. Scut. 264 sqq.; sed quod nostro loco sit consimile carmina epica nihil habent. Qui subito animi affectu (Ἀάτηι) abreptus peccavit, is postquam resipuit, non alacer hilarusve sed tardo gressu, fronte corrugata, limis oculis adit eum quem iniuria affecit, ut sibi ignoscat rogaturus; a quo si comiter accipitur, bene est, spretas vero preces numina ulciscuntur.

504 sq. Ἀάτη(σ)] Ἄτη(σ) Ω.

— ἀλέγουσι] sine negatione non nisi h. l. et ε 268. *Curam habent, sollicitae sunt de re componenda.*

505. οὕνεκα] inversa potius ratione dixerit quispiam: quia pernix est, facile antevertit Preces; sed poetae haec est mens: Culpam pernicem *fingi* sive *allegorice dici* propterea quod Preces antevertat.

511. ταί γε] magnam vim habet pronomen: *si quis Preces inclementer renuit, at illae ad Iovem precantur.* Frustra supplicavit homo quem paenitebat delicti: at illae patrem deorum non frustra adibunt.

512. τῶι] *illi,* ut antea viro qui veniam iam petiit.

— Ἀάτην] Ἄτην Ω.

513 sq. *Tu quoque deabus praebe honorem, qui et aliis cor movet.* Agamemnonem, postquam resipuit ut sibi ignoscatur humiliter petentem, — et rex tamen est potentissimus te senior! — ne aspernare. — Debitus Precibus honor solvitur cum supplicanti ignoscit quis et in gratiam cum eo redit. Verbum ἕπεσθαι poterat abesse.

τιμήν, ἤ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν.
εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι
Ἀτρεΐδησ, ἀλλ' αἰὲν ἐπιζαφέλωσ χαλεπαίνοι,
οὔ κεν ἐγώ γέ σε μῆνιν ἀπορρίψαντα κελοίμην 517 cf. *Ω* 297
Ἀργεΐοισιν ἀμυνέμεναι, χατέουσί περ ἔμπησ·
νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπισθεν ὑπέστη,
ἄνδρασ δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστουσ
κρινάμενοσ κατὰ λαὸν Ἀχαιικόν, οἵ τε σοὶ αὐτῶι
φίλτατοι Ἀργεΐων. τῶν μὴ σύ γε μῦθον ἐλέγξηισ
μηδὲ πόδασ! πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι. 523ᵇ = *χ* 59
οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέε' ἀνδρῶν
ἡρώων, ὅτε πέρ τιν' ἐπιζάφελοσ χόλοσ ἵκοι·
δωρητοί τ' ἐπέλοντο παραρρητοί τε ϝέπεσσι.
μέμνημαι τόδε ϝέργον ἐγὼ πάλαι, οὔ τι νέον γε,
ὡσ ἔεν· ἐν δ' ὔμιν ϝερέω πάντεσσι φίλοισι.
Κουρῆτέσ τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι
ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλουσ ἐνάριζον,
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνοσ ἐραννῆσ,
Κουρῆτεσ δὲ διαπραθέμεν μεμαῶτεσ Ἄρηϊ.
καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονοσ Ἄρτεμισ ὦρσε,

---

514. *ἤ . . . ἐπιγνάμπτει*] *αἴ . . . ἐπίγναμψαν* vChrist. || 523. Postmodo additus? || 525. **πέρ*] *κέν Ω, καί* Doederlein.

---

516. ἐπιζαφέλωσ] *vehementer*. Adv. redit Ζ 330 h. Merc. 487, adi. -λοσ est infra vs. 525. Quod ex ἐπι-ζα-φελ-οσ videtur compositum, stirpem autem φελ reduplicatam (πεμφελ e πελφελ) praebet vox δυσπέμφελοσ Π 748, quacum cf. παμφαλ-ήσασ (Herod. Mim. IV 77) et πομφόλ-υξ (Ar. Ran. 249). Brevior stirpis forma peperit verbum παφλάζειν (Ν 798): πμφλ- πεμφελ- παμφαλ- πομφολ. *Turgendi* inest notio, contrarium autem est ἀ-φελ-ήσ sive *lenis* (vox non epica).

517. μῆνιν ἀπορρίψαντα] item μηνιθμὸν ἀπορρῖψαι dicitur Π 282. Oppositum est verbum πέσσειν, cf. Δ 513 et Β 237.

522. ἐλέγξηισ] *ignominia afficias* (= *ad nihil redigas;* nos: *te schande maken*). Verbum redit φ 424; cf. ἔλεγχοσ *opprobrium.*

524. κλέε' ἀνδρῶν] cf. Λ 227 et de forma κλέε'(α) § 71.

525. ἐπιζάφελοσ] cf. vs. 516.

526. δωρητοί] cf. Κ 557.

— τε ϝέπεσσι] τ' ἐπέεσσι Ω.

528. ἔεν] § 302.

531. ἐραννῆσ] adi. redit Ι 577 η 18, = ἐρασ-νῆσ (cf. σεμνόσ, ἐρεμνόσ, ἐρεβεννόσ, ἁγνόσ). Idem valet ἐρατεινόσ (Γ 239 al.).

532. διαπραθέμεν] § 126.

533. *His enim* (Aetolis) *malum suscitaverat Diana.*

χωσαμένη ὃ ϝοι οὔ τι θαλύσια γουνῶι ἀλωιῆσ
Ϝοινεὺσ 'ϝέρξ'· ἄλλοι δὲ θεοὶ 'δαίνυνθ' ἑκατόμβασ,
οἴηι δ' οὐκ ἔρρεξε Διὸσ κούρηι μεγάλοιο, —
ἢ 'λάθετ' ἢ οὐκ ἐνόησεν, — ἀάσσατο δὲ μέγα θυμῶι. 537ᵇ = Δ 340
ἡ δὲ χολωσαμένη, δῖον γένοσ, ἰοχέαιρα
ὦρσεν ἔπι χλούνην σῦν ἄγριον ἀργιόδοντα,
ὃσ κακὰ πόλλ' ἔρρεζεν ἔθων Ϝοινῆοσ ἀλωιήν· 540ᵃ cf. X 380 h. Ap. 355
πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ 'βάλε δένδρεα μακρὰ
αὐτῆισι ῥίζηισι καὶ αὐτοῖσ' ἄνθεσι μήλων.
τὸν δ' υἱὸσ Ϝοινῆοσ ἀπέκτεινεν Μελέαγροσ,
πολλέων ἐκ πολίων θηρήτορασ ἄνδρασ ἀγείρασ
καὶ κύνασ· οὐ μὲν γάρ κ' ἐδάμη παύροισι βροτοῖσι!
τόσσοσ ἔεν, πολλοὺσ δὲ πυρῆσ ἐπέβησ' ἀλεγεινῆσ. 546ᵇ cf. Δ 99
ἡ δ' ἀμφ' αὐτῶι ἔθηκε πολὺν κέλαδον καὶ ἀϋτήν,

---

537. ἢ 'λάθετ' ἢ οὐκ] ἐκλάθετ' οὐδ' Zen., ἢ λάθετ' ἢ Brandreth (*sive imprudens sive consulto*). A dictione epica alienum est ἢ‿οὐκ (cf. § 8). || 539. ὦρσεν] θρέψεν Aristot. Hist. an. VI 28. — ἀργιόδοντα] οὐδὲ ἐώικει | θηρί γε σιτοφάγωι, ἀλλὰ ῥίωι ὑλήεντι Aristot. l. l. (cf. ι 191 sq.). || 540. ἔρρεζεν (aut -ξεν) Ammonius (Ar. apud Amm.?)] ἔρδεσκεν Ω neglecto ϝ (item h. Ap. 303, 355). Cf. v. l. X 380.

---

534. θαλύσια] *festum quo vindemiarum primitiae dis offerebantur*, non certo igitur anni die celebratum, sed post uvas collectas. Cf. B 550 sq. Σ 558—560. Vox †, sed cf. nomen proprium Θαλύσιοσ Δ 458. Cuius nominis (= *festo illo die conceptus* vel *natus*) interpretationem praebent collati versus Δ 474 sq.

537. ἢ 'λάθετ' ἢ οὐκ ἐνόησεν] aptam oppositionem haec non praebent neque conveniunt numeris; cf. nota crit.

538. δῖον γένοσ] *Iovis filia*. Sic e. g. T 124 Eurystheus Iovis γένοσ dicitur. — Saevus admodum Dianae Calydoniae, saevae deae, fuit cultus; cf. Pausan. XVII 18 § 6—8.

539. χλούνην] †; *aprum* designari patet, sed vocis potestas incerta.

540. ἔθων] *vastans*. Verbi aliunde non cogniti participium Π 260 redit; quod glossographos olim recte interpretatos esse βλάπτων docet contextus.

541 sq. De arboribus cultis, fructiferis Phoenix loquitur; non *vineam* autem eum solam cogitare docent vocabula μακρά et μῆλα. — Ceterum quod arborum *flores* poeta nunc commemorat, id ad temporis rationem non videtur exigendum; nam post iniuriam tempore auctumnali acceptam Dianam proximo demum vere aprum in Oenei arbusta immisisse, id poetam voluisse parum est credibile.

541. προθέλυμνα] *cum ipsa stirpe* sive *parte inferiore*. Adi. redit K 15 N 130; cf. πρόρριζοσ Λ 157 Ξ 415 et σάκοσ τετραθέλυμνον O 479 χ 122.

544. πολλέ‿ων] § 56. Etiam vs. 558 et 566 genitivi sic contracti extant.

546. ἔεν] § 302.

— πυρῆσ ἐπέβησ'(ε)] cf. A 52.

547—549. *De apri exuviis* Curetes cum Aetolis pugnasse poeta noster ait; aliter fabula Meleagri exornata est a posteris.

ἀμφὶ συὸσ κεφαλῆι καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
ὄφρα μὲν οὖν Μελέαγροσ Ἄρηϊ φίλοσ ’πολέμιζε,
τόφρα δὲ Κουρήτεσσι κακῶσ ἔεν, οὐδ’ ἐδύναντο
τείχεοσ ἔκτοσθεν μίμνειν πολέεσ περ ἐόντεσ·
ἀλλ’ ὅτε δὴ Μελέαγρον ἔδυ χόλοσ, ὅσ τε καὶ ἄλλων
οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων, 554ᵇ = Ξ 217
ἦ τοι ὁ μητρὶ φίληι Ἀλθαίηι χωόμενοσ κῆρ
’κεῖτο παρὰ μνηστῆι ἀλόχωι, καλῆι Κλεοπάτρηι,
κούρηι Μαρπήσσησ καλλισφύρου Εὐϝηνίνησ
Ἴδεώ θ’, ὃσ κάρτιστοσ ἐπιχθονίων ’γένετ’ ἀνδρῶν
τῶν τότε, καί ῥα ϝάνακτοσ ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνοσ καλλισφύρου εἵνεκα νύμφησ.
τὴν δὲ τότ’ ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην ’καλέεσκον ἐπώνυμον, οὕνεκ’ ἄρ’ αὐτὴ
μήτηρ ἀλκυόνοσ πολυπενθέοσ οἶτον ἔχουσα

551. ἐδύναντο] ἐθέλεσκον Aristoph. || 562. αὐτή Harl. 1771] αὐτῆσ Ω. Cf. § 98.

551. ἔεν] § 302.

552. τείχεοσ] *muri urbis* (*Calydonis*), ubi regnabat *Oeneus*. Nisi poeta dicere voluit *Curetes* in *suam ipsorum urbem* (Pleuronem) confugisse a Meleagro compulsos, quemadmodum Troianos intra Troiam cohibuit Achilles dum Achivos ducebat.

553. καὶ ἄλλων] *non tuam solius mentem*.

556. ’κεῖτο] *desidebat;* cf. Β 688 et Γ 134 sq.

558. Ἴδεω] cf. vs. 544 et § 55. — De *Ida* heroe cf. Γ 237—244.

559 sq. Cf. Pausan. V 18 Pind. Ol. I 109 sqq.

561. τὴν] *Cleopatram*. Idas et Marpessa filiolam vocarunt *Alcyonen*, quod stridulos olim clamores edidisset Marpessa a deo rapta. Cf. Ζ 402 sq. et τ 407—409. — Manifestum est studium poetae alterum hoc uxoris Meleagri nomen probabili aliqua ratione interpretandi. Duplex nimirum in priscis fabulis invenerat huius mulieris nomen (cf. Α 403 sq.).

563. ἀλκυόνοσ] †. Non significari *alcedinem ispidam*, in quam avicularum speciem prorsus non conveniunt quae de eius nido in undis fluitanti eiusve cantu narrantur, manifestum est; varia autem eaque quam maxime fabulosa de ea sunt relata. Quaenam avis primitus hoc nomine fuerit designata non liquet, neque quam cogitaverit noster poeta; sed notatu dignum est id quod demonstravit de Saussure (Mém. de la Société de Linguistique VI 75 sq.), vocem ἀλκυόνα esse eandem atque priscam germanorum vocem *swalawa* sive nostratem *zwaluw*, i. e. *hirundinem*. Apparet igitur cum fabulis, quibus vox hirundinis, lusciniae, cuculi, upupae celebratur (cf. quae observavi ad Ar. Av. p. 261—263), hos versus esse conferendos.

— οἶτον] cf. Γ 417.

'κλαῖ', ὅτε μιν ϝεκάϝεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων.
τῆι ὅ γε παρκατέλεκτο χόλον θυμαλγέα πέσσων, 565^{b} cf. Δ 513
ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι
πόλλ' ἀχέουσ' ἠρᾶτο κασιγνήτοιο φόνοιο,
πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία
κικλήσκουσ' Ἀϝίδην καὶ ἐπαινὴν Περσεφόνειαν, 569^{b} cf. 457 κ 534 λ 47
πρόχνυ καθεζομένη, 'δεύοντο δὲ δάκρυσι κόλποι,
παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Ἐρινὺς
ἔκλυεν ἐξ Ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα.
τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει
πύργων βαλλομένων, τὸν δ' ἐλλίσσοντο γέροντες 574^{b} = Σ 448
Αἰτωλῶν, 'πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους,
ἐξελθεῖν καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον·
ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς,
ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι
πεντηκοντάγυον, τὸ μὲν ἥμισυ ϝοινοπέδοιο,
ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.
πολλὰ δέ μιν 'λιτάνευε γέρων ἱππηλάτα Φοινεὺς
οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο,

---

564. (')κλαῖ' ὅτε] sic Zen., κλαῖεν ὅ Ar. L. || 572. Ἐρέβεσφιν] -βευσφιν Ω (cf. Θ 368). || 579. πεντηκοντάγυον] -ντόγυον Ω. || 580. ψιλὴν] ψιλῆς Ar. (mente supplens γῆς).

---

565. Cf. quae de Paride narrantur Z 321—336.

566. ἀρέων] cf. vs. 544 et § 56.

567. κασιγνήτοιο] *duos* matris fratres interemisse Meleager dicitur Bacch. V 128 sq. al.

568. Numina *inferna* invocans et veluti excitans Althaea *terram ferit*, ut Iuno h. Ap. 333, 340. *Caelites* vero qui invocant, *sursum* tendunt manus (cf. A 234—239), matrem deam *marinam* implorans Achilles manus *versus mare* tendit (cf. A 351). — Neque *titionis* fatalis apud posteros celebratissimi (cf. Bacch. V 151—154 Phrynichus tragicus apud Paus. X 31 § 2 Aesch. Choeph. 603—612 al.) ulla apud Homerum fit mentio, neque *Atalantae*.

569. ἐπαινὴν] cf. vs. 457.

570. πρόχνυ καθεζομένη] cf. Γ 134 sq. et E 309.

— 'δεύοντο — κόλποι] *sinum lacrimis implevit obortis* Verg. Aen. IV 30.

571. παιδὶ δόμεν θάνατον] insolite dictum; sed cf. Θ 166 (?). De infinitivi forma breviore δόμεν cf. § 126.

— Ἐρινύς] *impietatis* enim erat avunculum occidere. Cf. vs. 454.

573. Cum Meleager iratus desideret domi, mox Curetes ad ipsa Calydonis moenia accesserunt.

576. ὑποσχόμενοι μέγα δῶρον] eadem verbi vis est δ 525 ο 463 h. Ap. 103.

577. ἐραννῆς] cf. vs. 531.

582. ἐπεμβεβαώς] comp. †, sed cf. Hes. Scut. 195, 324.

— θαλάμοιο] quem *in aedibus pa-*

σείων κολλητὰσ σανίδασ, γουνώμενοσ υἱόν,
πολλὰ δὲ τόν γε κασίγνηται καὶ πότνια μήτηρ
ἐλλίσσονθ'· ὃ δὲ μᾶλλον ἀναίνετο. πολλὰ δ' ἑταῖροι,
οἵ ϝοι κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων·
ἀλλ' οὐδ' ὧσ τοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον, 587 cf. η 258 ι 33 ψ 337
πρίν γ' ὅτε δὴ θάλαμοσ πύκ' ἐβάλλετο, τοὶ δ' ἐπὶ πύργων
'βαῖνον Κουρῆτεσ καὶ ἐνέπρηθον μέγα ϝάστυ.
καὶ τότε δὴ Μελέαγρον ἐΰζωνοσ παράκοιτισ
'λίσσετ' ὀδυρομένη, καί ϝοι κατέλεξεν ἅπαντα
κήδε', ὅσ' ἀνθρώποισι πέλονθ' ὧν ϝάστυ ϝαλώηι·
,ἄνδρασ μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνουσ τε γυναῖκασ!' 594ᵇ = γ 154
τοῦ δ' ὠρίνετο θυμὸσ ἀκούοντοσ κακὰ ϝέργα, 595ᵃ = υ 9 ω 318
'βῆ δ' ἴμεναι, χροῒ δ' ἔντε' ἐδύσετο παμφανάοντα. 596ᵇ = Ο 120
ὧσ ὃ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ
ϝείξασ ϝῶι θυμῶι· τῶι δ' οὐκέτι δῶρ' ἐτέλεσσαν 598ᵃ cf. ε 126
πολλά τε καὶ χαρίεντα, κακὸν δ' ἤμυνε καὶ αὔτωσ. 599ᵃ = Θ 204
ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων
ἐνταῦθα τρέψειε, φίλοσ, — χαλεπὸν δέ κεν εἴη 601ᵇ = ν 141 ψ 184
νηυσὶν καιομένηισιν ἀμυνέμεν'! — ἀλλ' ἐπὶ δώροισ
ἔρχεο· ϝῖσον γάρ σε θεῶι τίσουσιν Ἀχαιοί.
εἰ δέ κ' ἄτερ δώρων πόλεμον φθισήνορα δύηισ,

---

583. *γουνώμενοσ* § 144] *-νούμενοσ.* ‖ 584. *κασίγνηται*] sic Ar., *-τοι* L. ‖ 592. *κήδε' ὅσ'(α)*] *ὅσσα κάκ'* Aristot. Rhet. I 7. — *πέλονθ' ὧν* § 275] *πέλει τῶν.* ‖ 593. *ἄνδρασ μὲν κτείνουσι*] *λαοὶ μὲν φθινύθουσι* Aristot. l. l. (cf. *Z* 327). ‖ 594. *τ' ἄλλοι*] sic Ar., *δήιοι* Zen. ‖ 601. *χαλεπὸν* A D] *κάκιον Ω.* ‖ 602. *δώροισ*] *δώρων* Ar. A, *δώρωι* Cobet (cf. *I* 576 *K* 304 et § 60).

---

ternis Meleager habitabat cum uxore; cf. B 701.

590. ἐΰζωνοσ] cf. B 479.

593 sq. Hostium in ipsa urbe iam saevientium facinora Cleopatra marito flebilibus verbis rettulit.

593. ἀμαθύνει] verbum h. Merc. 104 redit, *ad pulverem* (*cinerem*) *redigit.*

594. ἄλλοι] cf. Γ 301.

— βαθυζώνουσ] cf. Z 442.

596. ἴμεναι] § 125.

598. ϝείξασ ϝῶι θυμῶι] *suo animo cedens,* non precibus parentum vel sororum vel popularium permotus.

600—602. *Utinam ne deus illuc devenire te faciat: difficile forsitan tibi fuerit tum defendere naves cum ab hostibus incendantur.* — Dicit Phoenix ἐνταῦθα: *ut necessitate coactus id facias quod nolueris rogatus.* Nam Achillem domum revera primo mane rediturum haudquaquam credit. Et ne ipsi quidem Achilli constare illud consilium, licet modo ira abreptus reditum minatus fuerit, apparet vs. 650—652. Cf. vs. 427—429.

οὐκέθ' ὁμῶσ τιμῆσ ἔσεαι πόλεμόν περ ἀλαλκών.“
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„Φοίνιξ, ἄττα γεραιέ, διοτρεφέσ, οὔ τί με ταύτησ 607^{a} = *P*. 561
χρεὼ τιμῆσ. φρονέω δὲ τετιμῆσθαι Διὸσ αἴσηι,
ἥ μ' ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰσ ὅ κ' ἀϋτμὴ 609^{b}sq. = *K* 89 sq.
ἐν στήθεσσι μένηι καί μοι φίλα γούνατ' ὀρώρηι. 610^{b} = *X* 388 cf. *Λ* 477
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισι· 611 = *A* 297
μή μοι σύγχεε θυμὸν ὀδυρόμενοσ καὶ ἀχεύων, 612^{b} = *Ω* 128 *β* 23 *δ* 100 *ξ* 40
Ἀτρεΐδηι ἥρωϊ φέρων χάριν. οὐδέ τί σε χρὴ
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν τοι σὺν ἐμοὶ τὸν κηδέμεν' ὅσ κ' ἐμὲ κήδηι.
οὗτοι δ' ἀγγελέουσι, σὺ δ' αὐτόθι λέξεο μίμνων
εὐνῆι ἔνι μαλακῆι· ἅμα δ' ἠόϊ φαινομένηφι 618^{b} = *Ω* 600 *μ* 24 *ο* 396 cf. *I* 682
φρασσόμεθ', ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ' ἦε μένωμεν.“
ἦ, καὶ Πατρόκλωι ὅ γ' ἐπ' ὀφρύσι 'νεῦσε σιωπῆι
Φοίνικι στορέσαι πυκινὸν λέχοσ, ὄφρα τάχιστα 621 cf. 659
ἐκ κλισίησ νόστοιο μεδοίατο. τοῖσι δ' ἄρ' Αἴασ
ἀντίθεοσ Τελαμωνιάδησ μετὰ μῦθον ἔϝειπε·
„διογενὲσ Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,

---

616 *ϝῖσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆσ.*

---

608. *χρεὼ*] *χρὴ* Knight. Cf. § 8. ‖ 612. *ὀδυρόμενοσ καὶ ἀχεύων*] *ἐνὶ στήθεσσιν ἀχεύων* Ar., *ὀδυρόμενοσ κινυρίζων* Zen. ‖ 616. Del. Heyne. ‖ 619. *ἦε* A T] *ἤ κε* C D (in A scriptum est *ἠ*̊. *ε*, i. e. *ἦε* cum l. a. *ἤ κε*.

---

605. τιμῆσ] pro τιμήεισ (τιμήεντσ), quae forma integra extat ν 129 σ 161. Redit forma contracta Σ 475. Cf. Μ 201, 283 et § 69.

607. Φοίνιξ, ἄττα γεραιέ] verba animo commoto loquentis. Cf. Ρ 561 χ 395. — με ταύτησ | χρεὼ τιμῆσ] cf. vs. 75 sq.

608. φρονέω] *mecum reputo* (ut vs. 493 al.); hoc mihi satis est: hominum dona nulla requiro. Cf. Α 175.

609. ἥ μ' ἕξει] *quae me habebit; habebit me* Διὸσ αἶσα sive *id quod Iuppiter mihi decreverit* = *ego habebo* cet.; sic et χόλοσ, θράσοσ, γῆρασ, ἄχοσ, κλέοσ, ἐϋφροσύνη dicuntur ἔχειν τινά. Cf. etiam Λ 269 et Ε 397, nec non λαβεῖν Λ 402.

609 sq. εἰσ — μένηι] *dum spiritus hos regit artus* Verg. Aen. IV 336.

612. *Desine meque tuis incendere teque querelis* Verg. Aen. IV 360. — σύγχεε] § 191.

615. κηδέμεν'(αι)] § 125.

616. μείρεο] praesens †. Cf. § 271.

618. ἠόϊ] § 77.

619. Cf. vs. 427—429.

624—642. Ab Achille dimitti se et Ulixem sentiens Aiax, vir paucorum verborum, non iam eum sed socium allocutus „eamus!“ ait: „nihil prodest hic etiam commorari.“ Dein tamen et ad ipsum Achillem conversus preces breviter — sed frustra — iterat.

ἴομεν, οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῆιδέ γ' ὁδῶι κρανέεσθαι· ἀπαγγεῖλαι δὲ τάχιστα
χρὴ μῦθον Δαναοῖσι, καὶ οὐκ ἀγαθόν περ ἐόντα,
οἵ ποθι νῦν ἕαται ποτιδέγμενοι. αὐτὰρ Ἀχιλλεὺσ
ἄγριον ἐν στήθεσσι 'θέτο μεγαλήτορα θυμόν,
σχέτλιοσ, οὐδὲ μετατρέπεται φιλότητοσ ἑταίρων
τῆσ ἧι μιν παρὰ νηυσὶν ἐτίομεν ἔξοχον ἄλλων,
νηλήσ. καὶ μέν τίσ τε κασιγνήτοιο φονῆοσ
ποινὴν ἢ ϝοῦ παιδὸσ ἐδέξατο τεθνηῶτοσ·
καί ῥ' ὃ μὲν ἐν δήμωι μένει αὐτόθι, πόλλ' ἀποτίσασ,
τῶι δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸσ ἀγήνωρ 635b = *Κ* 220,244, 319 *δ* 548 *σ* 61
ποινὴν δεξαμένωι. σοὶ δ' ἄλληκτόν τε κακόν τε
θυμὸν ἐνὶ στήθεσσι θεοὶ 'θέσαν εἵνεκα κούρησ
οἴησ. νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ' ἀρίστασ
ἄλλα τε πόλλ' ἐπὶ τῆισι· σὺ δ' ἵλαον ἔνθεο θυμόν,
αἴδεσσαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοί εἰμεν
πληθύοσ ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων
κήδιστοί τ' ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί."
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„Αἶαν διογενὲσ Τελαμώνιε, κοίρανε λαῶν, 644 = *Η* 234
πάντα τί μοι κατὰ θυμὸν ἐϝείσαο μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλωι, ὁππότε κείνων
μνήσομαι, ὥσ μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξε

---

627. In G additur: *εἰπέμεν Ἀτρείδῃισ Ἀγαμέμνονι καὶ Μενελάωι* (= *Η* 373). || 632. *τε*] *γε* Ar. — *φονῆοσ* Ar. A T] *φόνοιο* *Ω*. || 635 sq. *τῶι . . . δεξαμένωι*] *τοῦ . . . δεξαμένωι* (A C D T, cf. *Γ* 301) vel *τοῦ . . . δεξαμένου* *Ω*. || 641. *πληθύοσ*] sic Ar., *ἀθρόοι* Zen.

---

625. ἴομεν] § 22.

— et 627. μύθοιο et μῦθον] prius *consilium susceptum* significatur (ut δ 777 al., cf. etiam δ 597), dein *verba, responsum.*

628. ποθι] § 322.

631. ἔξοχον ἄλλων] cf. Ζ 194.

632—636. Cf. Σ 497 sqq. Ω 46—48.

632. νηλήσ] § 73.

— φονῆοσ] genitivus ut Α 596.

633. ποινὴν] *multam* ab homicida *pro caede solutam* poeta, ut hoc loco, sic etiam Σ 498—500 commemoravit.

634. αὐτόθι] § 322.

638. οἴησ] *unius,* ut Η 42; cf. περὶ γυναικὸσ μιᾶσ Ar. Av. 1639. Valet autem *solus* vel *unus* talibus locis id quod *non nisi.*

640. Cf. Φ 75 sq.

641. ἔξοχον ἄλλων] cf. Ζ 194.

645. ἐϝείσαο] § 117.

647. ἀσύφηλον] *contumeliosi quid, contumeliam.* Adi. aliunde ignotum redit Ω 767.

Ἀτρεΐδησ, ὡσ εἴ τιν' ἀτίμητον μετανάστην. 648 = Π 59
ἀλλ' ὑμεσ ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντοσ,
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονοσ, Ἕκτορα δῖον, 651^b = Λ 197
Μυρμιδόνων ἐπί τε κλισίασ καὶ νῆασ ἱκέσθαι 652 cf. Λ 328
κτείνοντ' Ἀργεΐουσ, κατά τε σμῦξαι πυρὶ νῆασ.
ἀμφὶ δέ τοι τῆι ἐμῆι κλισίηι καὶ νηῒ μελαίνηι
Ἕκτορα καὶ μεμαῶτα μάχησ σχήσεσθαι οἴω." 655^b = Ν 747
ὡσ ἔφαθ', οἱ δὲ ϝέκαστοσ ἑλὼν δέπασ ἀμφικύπελλον
σπείσαντεσ παρὰ νῆασ ἴσαν πάλιν· ἦρχε δ' Ὀδυσσεύσ.
Πάτροκλοσ δ' ἑτάροισιν ἰδὲ δμωιῆισ' ἐκέλευσε 658^b = Ω 643
Φοίνικι στορέσαι πυκινὸν λέχοσ ὅττι τάχιστα. 659 cf. 621
αἱ δ' ἐπιπειθόμεναι 'στόρεσαν λέχοσ ὡσ ἐκέλευσε,
κώεά τε ῥῆγόσ τε λίνοιό τε λεπτὸν ἄωτον.
ἔνθ' ὁ γέρων κατέλεκτο καὶ Ἠόα δῖαν ἔμιμνε. 662 cf. τ 50
αὐτὰρ Ἀχιλλεὺσ ηὗδε μυχῶι κλισίησ ἐϋπήκτου, 663 sq. cf. δ 304 sq. 663 = Ω 675

653. σμῦξαι] φλέξαι Plat. Hipp. min. 371*c* et l. a. in A (cf. Χ 512). || 654. τοι] μιν Plat. l. l. || 657. σπείσαντεσ] λείψαντεσ Ar. in altera ed. et multi veterum. Eadem varietas est σ 426. || 660. ὡσ ἐκέλευσε] ἐγκονέουσαι Zen. (ut Ω 648 al.).

648. μετανάστην] redit vs. par., = att. μέτοικοσ. Cf. περιναιέται (= περίοικοι) Ω 488.

649. ὑμεσ] § 92.

650—655. Neque amicis supplicantibus cessit Achilles, neque seni, qui patris fere ei loco est, prudenter monenti: sero mox, ut Meleager, consilium mutaturus. „Cuncti perite modo", clamavit: „meis militibus et meis navibus dum bene sit, ista nihil curo: his autem ne Hector ignem inferat, ego cavebo. *Mortem* autem Meleagri licet Phoenix non commemoraverit, dixit tamen Furiam diris Althaeae aurem praebuisse, proximam igitur illi heroi mortem tunc adfuisse. Sic et Achilli proximam mox adfore mortem, cum Troianos tandem propulsaverit, poeta sentire nos voluit (cf. Σ 96). *Immatura* morte abreptum Meleagrum pridem fabulae tulere; ὑπ' Ἀπόλλωνοσ ἀποθανεῖν eum (cf. Α 48 γ 280) in Eoeis et in Minyade carminibus epicis est narratum (Paus. X 31 § 2).

653. σμῦξαι] verbum Χ 411 redit.

654. ἐμῆι § 14] (')μῆι Ω.

655. *Subiecti* accusativus est Ἕκτορα (cf. Ν 747); genitivus μάχησ cum a verbo σχήσεσθαι suspensus est (cf. Γ 84) tum a participio μεμαῶτα.

658 sqq. Cf. vs. 427—429.

661. ἄωτον] vox non nisi h. l. et Ν 599, 716 α 443 ι 434 obvia (λίνοιο vel οἰόσ) *telam* significare videtur; quae quibus locis usurpatur, dicuntur *stragulae* linteae vel laneae et *fundae* laneae, ι 434 autem vox transfertur.

662. Ἠόα] § 77.

663. μυχῶι κλισίησ] item Ω 675, quemadmodum patri familias et uxori *in aedibus* stat lectus ἐνὶ μεγάρωι (λ 374) sive μυχῶι δόμου (γ 402 δ 304 η 346), i. e. μυχῶι μεγάρου. Quae megari pars

τῶι δ' ἄρα παρκατέλεκτο γυνὴ τὴν Λεσβόθεν ἦγε,
Φόρβαντοσ θυγάτηρ, Διομήδη καλλιπάρηιοσ.
Πάτροκλοσ δ' ἑτέρωθεν ἐλέξατο, πὰρ δ' ἄρα καὶ τῶι
Ϝῖφισ ἐΰζωνοσ, τήν ϝοι 'πόρε δῖοσ Ἀχιλλεὺσ
Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆοσ πτολίεθρον.
οἳ δ' ὅτε δὴ κλισίηισιν ἒν Ἀτρεΐδα' ἐγένοντο, 669 = *H* 313
τοὺσ μὲν ἄρα χρυσέοισι κυπέλλοισ' υἷεσ Ἀχαιῶν
'δεδϝέχατ' ἄλλοθεν ἄλλοσ ἀνασταδὸν ἔκ τ' ἐρέοντο·
πρῶτοσ δ' ἐξερέεινε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων· 672ª = *K* 543
„ϝείπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδοσ Ἀχαιῶν, 673 = *K* 544
ἤ ῥ' ἐθέλει νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ, 673ᵇ = μ 184, 674ᵇ = 347
ἦ ἀπέϝειπε, χόλοσ δ' ἔτ' ἔχει μεγαλήτορα θυμόν;"
τὸν δ' αὖτε προσέϝειπε πολύτλασ δῖοσ Ὀδυσσεύσ·
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, 677 = *B* 434
κεῖνόσ γ' οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ' ἔτι μᾶλλον
πιμπλάνεται μένεοσ, σὲ δ' ἀναίνεται ἠδὲ σὰ δῶρα.
αὐτόν σε φράζεσθαι ἐν Ἀργεΐοισιν ἄνωγε
ὅππωσ κεν νῆασ σαόηισ καὶ λαὸν Ἀχαιῶν· 681 cf. 424
αὐτὸσ δ' ἠπείλησεν ἅμ' ἠόϊ φαινομένηφι 682ᵇ = *Λ* 685 al. cf. *I* 618

664. *τῶι δὲ γυνὴ παρέλεκτο Κάειρ', ἣν Λεσβόθεν ἦγε* Zen. || 674. *ἀλεξέμεναι*] *ἀμυνέμεναι* l. a. in A. || 679. *πιμπλάνεται*] *πίμπλασθαι* Dindorf, *οἰδάνεται μένεϊ* Nauck. || 681. *σαόηισ* Nauck] *τε σόηισ Ω*, *τε σαῶισ* et *τε σοῶισ* Ar. (cf. vs. 424).

fueritne septo ligneo aliave ratione a reliquo megaro quadamtenus secreta necne, sciri iam non potest. Sic Calypso μυχῶι ἄντρου dormire dicitur ε 226. De Penelope autem dum abest maritus in aedium *parte superiore* dormiente cf. α 328.

667. ἐΰζωνοσ] cf. B 479.

668. *Scyrum* igitur insulam, ut *Lesbum* et *Tenedum*, Achivi ceperunt cum iter fecerunt in Troadem. Nam prorsus non est credibile quod perhibent scholia, *Asiae* urbem aliquam, cui Scyrus nomen fuerit, poetam nunc voluisse. Nempe recentiores Achillem Scyri in regis aedibus aliquantisper vixisse et Neoptolemum ibi genuisse finxerunt (cf. T 326, 332, λ 509); sed ab Iliade, in quo carmine admodum iuvenis est Achilles, Neoptolemus est alienus et cunctam illam fabulam alienam esse contextus nostri loci docet.

669. Ἀτρεΐδα'(ο)] § 55.

670 sq. Cf. O 85 sq.

670. χρυσέοισι] § 18 et 61.

671. 'δεδϝέχατ'(ο)] § 139.

673. μ'(οι)] § 13.

678. κεῖνόσ γ'(ε)] *ille quidem*, magna cum vi dictum. Aliunde petendum est auxilium, nam ab illo nihil est sperandum.

679. πιμπλάνεται] forma insolita, vix integra (cf. nota crit.).

680. φράζεσθαι] cf. vs. 347.

682. ἠόϊ] § 77.

νῆασ ἐϋσσέλμουσ ἅλαδ' ἑλξέμεν' ἀμφιϝελίσσασ. 683a cf. *Ξ* 97, 106
καὶ δέ κε τοῖσ' ἄλλοισιν ἔφη παραμυθήσασθαι 684 cf. 417
ϝοίκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ 685-687 = 418 sqq.
Ϝιλίου αἰπεινῆσ· μάλα γάρ ϝεθεν εὐρύϝοπα Ζεὺσ
χεῖρα ἑϝὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
ὣσ ἔφατ'· εἰσὶ καὶ οἵδε τὰ ϝειπέμεν', οἵ μοι ἕποντο,
Αἴασ καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω. 689b = *Γ* 148
Φοίνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὣσ γὰρ ἄνωγε,
ὄφρα ϝοι ἐν νήεσσι φίλην εἰσ πατρίδ' ἕπηται 691 sq. cf. 428 sq.
αὔριον, αἴ κ' ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔ τί μιν ἄξει.“
ὣσ ἔφαθ', οἳ δ' ἄρα πάντεσ ἀκὴν ἐγένοντο σιωπῆι· 693 = *Θ* 28
δϝὴν δ' ἄνεῳ ἦσαν τετιηότεσ υἷεσ Ἀχαιῶν. 695 sq. = 30 sq.
ὀψὲ δὲ δὴ μετέϝειπε βοὴν ἀγαθὸσ Διομήδησ·
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, 697 = *B* 434
μηδ' ὄφελεσ λίσσεσθαι ἀμύμονα Πηλεΐωνα,
μυρία δῶρα διδούσ· ὃ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλωσ.
νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίηφιν ἐνῆκασ.
ἀλλ' ἦ τοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἴῃσι 701 cf. *ξ* 183
ἤ κε μένῃ· τότε δ' αὖτε μαχέσσεται, ὁππότε κέν μιν
θυμὸσ ἐνὶ στήθεσσιν ἀνώγῃ καὶ θεὸσ ὄρσῃ.
ἀλλ' ἄγεθ', ὥσ κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντεσ. 704 = *B* 139

694 *μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶσ ἀγόρευσε.* 694 = *Θ* 29

683. *ἑλξέμεν('αι)* L] *ἑλκέμεν Ω*. Cf. *B* 436. ‖ 687. *ἑϝὴν*] cf. vs. 420. ‖ 688—692. Aristoph. Ar. —, vs. 692 etiam Zen. ‖ 688. *τὰ* Heyne] *τάδ'*. ‖ 690. *ἄνωγε* § 225] *ἀνώγει*. ‖ 694. *ἀγασσάμενοι*] *φρασσάμενοι* olim quidam. — *ἀγόρευσε*] *ἀπέειπε* l. a. in A. — Versum Zen. om., Aristoph. Ar. — ‖ 698. *μηδ'(ἐ)* Ar. C] *μὴ* A D T (cf. *P* 686 *Σ* 19 *X* 481). ‖ 699. *ἄλλωσ*] *αὔτωσ* l. a. in A. ‖ 700. *ἀγηνορίηφιν* § 46] *-ῃσιν*. — *ἐνῆκασ*] *ἀνῆκασ* l. a. in Aristarchi commentariis commemorata. Cf. *Π* 691 *E* 422.

684. δέ κε] § 326. – Non nisi h. l. infinitivo adiuncta est particula κε (ἄν); nam si qua praeterea afferuntur exempla, corrigenda sunt, e. g. X 110. Cum nostro loco cf. vs. 417.

685. τέκμωρ | Ϝιλίου] cf. H 30.

687. Cf. Δ 249 et de hiatu χεῖρα ἑϝήν § 44.

688. εἰσὶ καὶ οἵδε τὰ ϝειπέμεν'(αι)] *en hi quoque adsunt qui dicant.* Cf. N 312, 814 T 140.

690. ἄνωγε] § 225.

691. ἕπηται] cf. A 158.

692. αἴ κ'(ε)] § 326.

697—709. Imperterritus et nunc est Diomedes, Thebarum victor (Δ 406), ut antehac (cf. H 399 sqq. et I 31 sqq.). Qui mox quoque talem se virum praestabit; cf. K 219 nec non Ξ 110.

699. καὶ ἄλλωσ] *vel sic.* Eadem adverbii vis est Υ 99 ι 267 ρ 577 φ 87.

701. μαχέσσεται] § 191.

704. κεν] § 326.

νῦν μὲν κοιμήσασθε τεταρπόμενοι φίλον ἦτορ
σίτου καὶ ϝοίνοιο, τὸ γὰρ μένοσ ἐστὶ καὶ ἀλκή· 706 = T 161
αὐτὰρ ἐπεί κε φανῆι καλὴ ῥοδοδάκτυλοσ Ἠώσ,
καρπαλίμωσ πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππουσ
ὀτρύνων, καὶ δ' αὐτὸσ ἐνὶ πρώτοισι μάχεσθαι." 709 cf. M 324
ὣσ ἔφαθ', οἳ δ' ἄρα πάντεσ ἐπήινεσσαν βασιλῆεσ, 710 = H 344
μῦθον ἀγασσάμενοι Διομήδεοσ ἱπποδάμοιο. 711 = H 404
καὶ τότε δὴ σπείσαντεσ ἔβαν κλισίηνδε ϝέκαστοσ,
ἔνθα δ' ἐκοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο. 713 cf. H 482

νυκτεγερσία.

K ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆεσ Παναχαιῶν 1-4 cf. B 1 sq.

---

710. ἐπήινεσσαν § 295] -νησαν vel -νεσαν. || 1. ἄλλοι] ὦλλοι Zen.; cf. B 1 et § 9.

---

707. φανῆι] novicium pro φανήηι, cf. § 122.

710. ἐπήινεσσαν] § 295.

712. Cf. γ 332—341.

οἳ δ' ἄρα χερμαδίοισιν ἐΰ δμητῶν ἀπὸ πύργων — 154^b cf. *Π* 700 *X*

---

138. *ἔκιον*] *κιέτην* Zen. Aristoph. || 141. *τῆοσ* (*τειοσ*) Brandreth] *εἵωσ*. Idem error est *N* 143 *O* 277 *P* 727, 730 *β* 148 *γ* 126. Cf. *ὄφρα* pro *τόφρα* *O* 547 et § 323 (etiamne *ὅτε* vel *ὀτὲ* pro *τότε* *Λ* 568 *Π* 690 *P* 178?). || 142. *ἐόντεσ*] sic Ar., *-τασ* Ambr. T. || 147. *δέχαται*] sic Ar., *δέχεται* Ambr.; expectatur dualis *δέχθον* (vel *μένετον*, ut *N* 472). Cf. § 227. || 149. *ἐκτάμνοντε* C H] *-ντεσ* *Ω*. || 151. *στήθεσσι*] *-σφι* D (cf. *B* 388). || 153. *λαοῖσιν*] *λάεσσιν* (*lapidibus*) Zen.

---

137. πρὸσ τεῖχοσ] *vallum versus*, i. e. in eam valli partem quae aditum habebat, quoniam ibi erat porta et via ad portam ducens (vs. 120).

— βόασ αὔασ | ὑψόσ' ἀνασχόμενοι] tela desuper immissa sublatis clipeis caventes.

138. ἀνασχόμενοι] cf. Γ 362.

— ἀλαλητῶι] cf. Β 149.

141. οἳ δ'(ἐ)] dicuntur *Polypoetes* et *Leonteus*.

142. ὤρνυον] § 145.

145. δὲ τὼ] cf. Α 190.

146—151. Simili comparatione usus poeta Ν 471—476 apro assimulavit Idomeneum.

149. ἐκτάμνοντε] aliud verbum expectaverit quispiam, quo indicentur apri ἀναιδομάχαι (ut loquitur Bacchyl. V 105) rabido impetu virgulta confringentes et sternentes.

— ὕπαὶ] cf. Λ 417.

151. 'κόμπεε] § 191.

153. καθύπερθε] i. e. καθύπερθεν ἐοῦσι *militibus in vallo collocatis* et ex edito illo loco tela in hostes immittentibus.

'βάλλον, ἀμυνόμενοι σφῶν τ' αὐτῶν καὶ κλισιάων
νηῶν τ' ὠκυπόρων. νιφάδεσ δ' ὥσ 'πίπτον ἔραζε,
ἅσ τ' ἄνεμοσ ζαήσ, νέφεα σκιόεντα δονήσασ,
ταρφείασ κατέχευεν ἐπὶ χθονὶ πολυβοτείρηι·
ὣσ τῶν ἐκ χειρῶν ϝέλε' ἔρρεον ἠμὲν Ἀχαιῶν
ἠδὲ καὶ ἐκ Τρώων, κόρυθεσ δ' ἀμφ' αὖον ἄϋτευν
βαλλόμεναι μυλάκεσσι καὶ ἀσπίδεσ ὀμφαλόεσσαι.
δή ῥα τότ' ᾤμωξεν καὶ ἐϝὼ 'πεπλήγετο μηρὼ 162 = *O* 397 cf. *ν* 198
Ἄσιοσ Ὑρτακίδησ, καὶ ἀλαστήσασ ϝέποσ ηὔδα·
„Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴσ ἐτέτυξο
πάγχυ μάλ'! οὐ γὰρ ἐγώ γε φάμην ἥρωασ Ἀχαιοὺσ
σχησέμεν' ἡμέτερόν γε μένοσ καὶ χεῖρασ ἀάπτουσ. 166b = *H* 309
οἳ δ', ὥσ τε σφῆκεσ μέσον αἰόλοι ἠὲ μέλισσαι
ϝοικία ποιήσωνται ὁδῶι ἔπι παιπαλοέσσηι,
οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντεσ
ἄνδρασ θηρητῆρασ ἀμύνονται περὶ τέκνων,

160. *ἄϋτευν*] *ἄϋον* Fick (cf. *N* 441 et § 7, 191). || 161. *βαλλόμεναι*] sic Zen., *-μένων* Ar. („*αἱ πᾶσαι*" T). || 162. *καὶ ἐ(ϝ)ὼ* Bentley] *τε καὶ ὤ*.

157. ζαήσ] cf. Ε 865.

158. πολυβοτείρηι] § 21.

159—161. Et aliis telis et *saxis* utuntur Troes et Achivi (item vs. 287 sq.), ut saepe heroes; cf. praesertim infra vs. 445 sqq. — Utiliores sane lapides nunc sunt muri defensoribus quam oppugnatoribus, quorum mentionem dum facit poeta, eam quam modo delineavit imaginem relinquens *frequentiam* potissimum missilium utrinque coniectorum cogitat. Item infra vs. 278—289.

160b sq. *Scuta cavaeque* | *dant sonitum flictu galeae* Verg. Aen. IX 666 sq. — Locutio αὖον ἀῦσαι sive *fragorem aridum dare* (Verg. Georg. I 357) redit Ν 441; cf. καρφαλέον ἄϋσαι Ν 409.

161. μυλάκεσσι] cf. Η 270.

163. ἀλαστήσασ] *indignatus, furens.* Verbum redit Ο 21, ἐπ. α 252; cohaerent ἀλαστόσ *furiosus* Χ 261 (a quo discernendum est adi. ἄλαστοσ Ω 105 α 342 δ 108 ξ 174 ω 423, si a verbi λήθειν stirpe id est ductum) et Ἀλάστωρ nomen proprium.

164—166. Similes querelae Menelai sunt Γ 365 sq. — Iove Idaeo confisus erat Asius, a quo iam derelictum se queritur et veluti deceptum. Cf. vs. 236.

166. σχησέμεν'(αι)] § 125.

167—172. Vesparum vita etiam Π 259 sqq. poetae praebuit comparationem.

167. μέσον αἰόλοι] breviter sic significatur harum bestiolarum *abdomen* tenui ligatura pectori iunctum et *crebro motu agitatum.*

— μέλισσαι] de apibus feris poeta loquitur, ut semper; cf. Β 87—93.

ὣσ οἵ γ' οὐκ ἐθέλουσι πυλάων καὶ δύ' ἐόντεσ
χάσσασθαι, πρίν γ' ἠὲ κατακτάμεν' ἠὲ ϝαλῶναι." 172 cf. Ο 557
ὣσ ἔφατ', οὐδὲ Διὸσ 'πεῖθε φρένα ταῦτ' ἀγορεύων·
174 Ἕκτορι γάρ ϝοι θυμὸσ ἐβούλετο κῦδοσ ὀρέξαι. 174 = Ο 596 174^b = Λ 79
181 σὺν δ' ἔβαλον Λαπίθαι πόλεμον καὶ δηϊοτῆτα.
ἔνθ' αὖ Περιθόοι' υἱόσ, κρατερὸσ Πολυποίτησ,
δούρ' ἔβαλεν Δάμασον κυνέησ διὰ χαλκοπαρῄου· 183^b = Ρ 294 Υ 397
οὐδ' ἄρα χαλκείη κόρυσ ἔσχεθεν, ἀλλὰ διὰ πρὸ 184 cf. Υ 398
185 αἰχμὴ ϝιεμένη 'ρῆξ' ὀστέον, ἐγκέφαλοσ δὲ 185 sq. = Υ 399 sq. 185^b sq. = Λ 97 sq.
ἔνδον ἅπασ 'πεπάλακτο· 'δάμασσε δέ μιν μεμαῶτα.
αὐτὰρ ἔπειτα Πύλωνα καὶ Ὄρμενον ἐξενάριξε.
υἱὸν δ' Ἀντιμάχοιο Λεοντεύσ, ὄζοσ Ἄρηοσ,
Ἱππόμαχον 'βάλε δουρί, κατὰ ζωστῆρα τυχήσασ. [284 Φ 116
190 αὖτισ δ' ἐκ κολεοῖο ϝερυσσάμενοσ ξίφοσ ὀξὺ 190^b = Ξ 496 Υ
Ἀντιφάτην μὲν πρῶτον, ἐπαΐξασ δι' ὁμίλου, 191^b sq.* = Ρ 293 sq.

175 ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσι, 175 cf. Ο 414
ἀργαλέον δέ με ταῦτα θεὸν ὣσ πάντ' ἀγορεῦσαι.
πάντῃ γὰρ περὶ τεῖχοσ ὀρώρεε θεσπιδαὲσ πῦρ
δήϊον· Ἀργεῖοι δέ, καὶ ἀχνύμενοί περ, ἀνάγκῃ 178^b cf. Ο 133
νηῶν ἠμύνοντο· θεοὶ δ' ἀκαχήατο θυμὸν
180 πάντεσ, ὅσοι Δαναοῖσι μάχησ ἐπιτάρροθοι ἦσαν.

171. οἵ γ'(ε)] οἵδ' Ar. D L. — ἐόντεσ D T] -ντε A C. || 175—180 vel 181. Zen. om., Aristoph. Ar. —; cf. comment. || 178. δήϊον Bentley] λάϊνον Ω, quod adi. hinc est alienum; nam a voce τεῖχοσ longius est remotum neque voci πῦρ aptum. Natum est e lyrica adiectivi forma δάϊον. || 179. θυμὸν] -μῶι T. || 185. (ϝ)ιεμένη T] χαλκείη Ω (cf. vs. 184 et Υ 399).

175—180. Veteres iure damnarunt. Nam *unam portam* poeta cogitasse videtur Η 339 sq., nec plurium in narratione quae est de vallo a Troianis oppugnato fit mentio; et plures tamen fuisse si sumimus, vel sic molestus hic locus manet propter *ignis* mentionem. Nam *ad naves* Troiani nondum pervenerunt, nedum ignem iis iniecerint (cf. Μ 441 Ο 718); neque aptior fiat locus si *ardentes taedas ad fastigia valli iactatas* cogitemus (cf. Verg. Aen. IX 568), — mira tela! Praeterea non est poetae Iliadis ita interponere suam personam ut fit vs. 176; qui nihil se de suo habere profiteri solet, a Musa vero edoctum scire quaelibet (cf. Α 8 sq.).

181. σὺν . . . ἔβαλον . . . πόλεμον] cum locutione insolita cf. Γ 7 et συνάγειν Ἄρηα Β 381.

— Λαπίθαι] heroes duo *Polypoetes* et *Leonteus*.

182. Περιθόοι'(ο)] de prima syllaba cf. § 21, de ultima § 59.

183. δούρ' (δουρί)] § 13.

184. ἔσχεθεν] cf. Π 340.

'πλῆξ' αὐτοσχεδίην· ὃ δ' ἄρ' ὕπτιοσ οὔδε' ἐρείσθη. 192[b] cf. *H* 145
αὐτὰρ ἔπειτα Μένωνα καὶ Ἰαμενὸν καὶ Ὀρέστην 193[b] = 139
πάντασ ἐπασσυτέρουσ 'πέλασε χθονὶ πολυβοτείρηι. 194 = Θ 277

ὄφρ' οἳ τοὺσ ἐνάριζον ἀπ' ἔντεα μαρμαίροντα, 195[a] = *O* 343
τόφρ', οἳ Πολυδάμαντι καὶ Ἕκτορι κοῦροι ἕποντο,
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, 'μέμασαν δὲ μάλιστα 197 = 89
τεῖχοσ τε ῥῆξαι καὶ ἐνιπρῆσαι πυρὶ νῆασ,
οἵ ῥ' ἔτ' ἐμερμήριζον ἐφεσταότεσ παρὰ τάφρωι.
ὄρνισ γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσι, 200[b]-202 = 218 sqq.
αἰετὸσ ὑψιπέτησ, ἐπ' ἀριστερὰ λαὸν ἐϝέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον 202[b] = ο 161
ζωιόν, ἔτ' ἀσπαίροντα, καὶ οὔ πω 'λήθετο χάρμησ,
'κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθοσ παρὰ δειρὴν

192. οὔδε' ἐρείσθη] οὖδασ ἔρεισε (Ar.) L; cf. *Λ* 144. || 198. ῥῆξαι . . . ἐνιπρῆσαι D T] -ξειν . . . -σειν *Ω*. Cf. *B* 544. || 199. τάφρωι] -ον D T.

192. αὐτοσχεδίην] cf. E 830.
— οὔδε'(ϊ)] § 71.

195. De Polypoeta et Leonteo exinde tacetur; quorum nisi oblivisci auditores voluit poeta vel oblitus est ipse, — in ludis funebribus narrandis denuo eorum recordaturus, — sumsit eos mox irruente Hectore per portam intra vallum se denuo recepisse.

196—199. *Interim Polydamas et Hector cum suis dubii etiam consistebant prope fossam.* In vs. 196 sq. *relativum* est οἵ, in vs. 199 *demonstrativum*; particula ἔτι spectat quae vs. 59 sunt relata.

196. Πολυδάμαντι] § 21.

200. περησέμεναι] aoristi mixti hic est infinitivus, item mox vs. 218. Cf. T 401—403.

201—205. Imitatur Verg. Aen. XI 751—756.

201. ὑψιπέτησ] olim fuere qui litteras traditas parum recte interpretarentur ὑψιπετῆσ (= ὑψιπετήεισ); cf. I 605 et § 69.

— ἐπ' ἀριστερὰ λαὸν ἐϝέργων] verbum ϝέργειν ita nunc adhibetur ut saepius apud Herodotum, ubi Xerxis exercitus montem vel regionem aliquam ἐν ἀριστερῆι vel ἐν δεξιῆι ἀπέργειν dicitur VII 43, 110, 112 VIII 35; praeterea cf. B 617, 845 Ω 544. Aquila, quae ab oriente veniens, ut omina quaelibet (cf. vs. 238—240), aciei Troianorum frontem sinistrorsum praetervolat, milites habet a parte sinistra. — Item vs. 219 et 240. Etiam Θ 213 verbum ἐϝέργειν ita est usurpatum, neque discrepat ἀπεϝέργαθε Φ 599.

203. ἀσπαίροντα, καὶ οὔ πω 'λήθετο] cf. Γ 80.

204. αὐτὸν] *ipsam aquilam.* — Anguis dum ab aquila sublimis abripitur, *ipsum* adversarium mordet vel „ferit", ut loquitur poeta, sive „dentibus"

ἰδνωθεὶσ ὀπίσω· ὃ δ' ἀπὸ ϝέθεν ἧκε χαμᾶζε 205ᵃ = ϑ 375
ἀλγήσασ ὀδύνηισι, μέσωι δ' ἐνὶ κάββαλ' ὁμίλωι,
αὐτὸσ δὲ κλάγξασ 'πέτετο πνοιῆισ' ἀνέμοιο.
Τρῶεσ δ' ἐρρίγησαν, ἐπεὶ 'ϝίδον αἰόλον ὄφιν
κείμενον ἐν μέσσοισι, Διὸσ τέρασ αἰγιόχοιο. 209ᵇ = E 742
δὴ τότε Πολυδάμασ θρασὺν Ἕκτορα 'ϝεῖπε παραστάσ· 210 = 60
„Ἕκτορ, αἰεὶ μέν πώσ μοι ἐπιπλήσσεισ ἀγορῆισι
ἐσθλὰ φραζομένωι, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ϝέϝοικε 212ᵇ = φ 319
δῆμον ἐόντα παρ' ἓξ ἀγορευέμεν', οὔτ' ἐνὶ βουλῆι

---

208. *ἐπεὶ* l. a. ant.] *ὅπωσ Ω*. Cf. *Α* 459. — *ὄφιν*] vitiosum (cf. comment.); **ἔγχιν* (Att. *ἔχιν*, cf. *ἔγχελυσ* et *anguis*)? Brandreth *ὕδρον* (ut *B* 723). || 211. *Ἕκτορ, αἰεὶ μέν*] **Ἕκτωρ, αἰεί*? Cf. § 324[10]. — *ἐπιπλήσσεισ*] sic Ar., *ἐνιπλ.* T (cf. *Α* 55). || 213. *δῆμον*] *δήμου* Bentley (cf. *B* 198 *Α* 328 *M* 447).

---

mente supplebat, sive „lingua", quod serpentium telum esse multi crediderunt.

205. ἰδνωθείσ] cf. Β 266.

207. 'πέτετο πνοιῆισ' ἀνέμοιο] *vento se committebat* ales dolore languidus neque iam strenuo alarum remigio usus, sed *aura ferri* se sinens. Cf. Β 149 et κύμασι vs. 28. Praeterea cf. β 148.

208. ὄφιν] corruptum (cf. nota crit.). Alia est ratio adiectivi ὀ̄φιοέσσησ Antimach. fr. 78, quod cum voce ἠνεμόεσσα et similibus (§ 21) est componendum. Hipponacti (fr. 49) ὄ̄φισ tribuitur a Tzetza, sed et κακο̄μήχᾱνε: nihil igitur valet huius testimonium, Hipponactem autem l. l. οὖφισ (ὁ ὄφισ) dixisse credibile. Veteres grammatici μείουρον appellabant versum (cf. schol. Eust. Athen. 632 et § 22), et Demetrius de Elocutione (Rhet. Spengel III 317) hanc κακοφωνίαν consulto quaesitam perhibet, poetae enim dicere licuisse ὅπωσ ὄφιν αἰόλον εἶδον (obstabat tamen ϝ). Nunc sunt multi qui putent sonum ὀ- vi adspiratae produci potuisse, conferentes voces σκύ(π)φουσ Panyas. apud Athenaeum 498 *d*, σκύ(π)φον Hesiod. fr. 193, βρό(κ)χον Theogn. 1099.

210. Πολυδάμασ] § 21. — Ἕκτορα] cf. Ε 170.

211. Polydamas Hectoris (patruelis? cf. Γ 146 et) aequalis (cf. Σ 251), qui duris verbis nunc (vs. 230 sqq.) et Σ 284 sqq. ab eo increpatur, simili exordio utitur Ν 726. Modo autem (vs. 60 sqq.), ut et Ν 748, Hector aurem ei praebere non noluit consilium danti prudentissimum.

212—214. *Nempe obloqui tibi cives non decet; sed obtemperare tibi, id demum decet.* Ad ἀέξειν mente supplendum est ἔοικε. Non serio autem sed cum risu amaro Polydamas nunc loquitur.

213. δῆμον] si integrum (cf. nota crit.), id quod δημότην nunc valet (sic Ar.), ἄνδρα δημότην Soph. Ai. 1071; cf. Hor. Ep. I 1, 59 et Γ 175. — Polydamas, cuius patrem Panthoum aut Priami fratrem aut genere certe nobilissimo poeta fecit, δήμωι tamen accensere se apte potuit, quemadmodum δημογέρων vocatur priscus rex

οὔτε ποτ' ἐν πολέμωι, σὸν δὲ κράτοσ αἰὲν ἀέξειν.
νῦν αὖτ' ἐκϝερέω ὥσ μοι δοκεῖ ἔμμεν' ἄριστα. 215 cf. *I* 103
μὴ ἴομεν Δαναοῖσι μαχεσσόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε
Τρωσὶν ὅδ' ὄρνισ ἦλθε περησέμεναι μεμαῶσι, 218ᵇ = 200
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον 220 = 202
ζωιόν, ἄφαρ δ' ἀφέηκε πάροσ φίλα ϝοικί' ἱκέσθαι,
οὐδ' ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑϝοῖσι·
ὣσ ἥμεσ, εἴ πέρ τε πύλασ καὶ τεῖχοσ Ἀχαιῶν
ῥηξόμεθα σθένεϊ μεγάλωι, ϝείξωσι δ' Ἀχαιοί,
οὐ κόσμωι παρὰ ναῦφιν ἐλευσόμεθ' αὐτὰ κέλευθα·
πολλοὺσ γὰρ Τρώων καταλείψομεν, οὕσ κεν Ἀχαιοὶ
χαλκῶι δῃώσωσιν ἀμυνόμενοι περὶ νηῶν.
ὧδέ χ' ὑποκρίναιτο θεοπρόποσ, ὃσ σάφα θυμῶι
ϝειδείη τεράων, καί ϝοι πειθοίατο λαοί." 229ᵇ = *Ξ* 93
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη κορυθαιόλοσ Ἕκτωρ· 230 sq. = *Σ* 284 sq.
„Πολυδάμαν, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεισ· 231ᵇ-234 = *H* 357 sqq.
ϝοῖσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.

---

219 *αἰετὸσ ὑψιπέτησ ἐπ' ἀριστερὰ λαὸν ἐϝέργων,* 219 = 201

---

214. *κράτοσ*] *κλέοσ* l. a. in A. || 218. *ἦλθε* Ar.] *ἐπῆλθε Ω*. Cf. *Ω* 219. || 219. Om. A[1] C D[1]. || 230. *ἄρ' ὑπόδρα ϝιδὼν προσέφη*] sic (*ἰδὼν*) Ar., *ἠμείβετ' ἔπειτα μέγασ* Zen. (ut *O* 471 *P* 715). || 231. *Πολυδάμαν* (*Πουλ.*) Zen. Chamaeleo] *Πουλυδάμα* Ar. *Ω*. Cf. *Δ* 86.

Λ 372. Acerbi tamen aliquid nunc habet ea vox: „omnes uni regi eiusque filio ipsius nomine imperanti tacitos obedire nos oportet".

215. ἔμμεν'(αι)] § 125.

216. μαχεσσόμενοι] § 291.

217. εἰ ἐτεόν γε] *quandoquidem, ut ipse vidisti.*

218. περησέμεναι] cf. vs. 200.

222. ἐτέλεσσε] verbum absolute est dictum: *ad finem pervenit, perfecit id quod agebat* (*iter* vel *consilium*), item η 325.

223 sq. *Etiamsi* — quae minime certa est spes — *perfringamus portam et Achivi nobis cedant.* Efficiunt haec verba ἓν διὰ δυοῖν vel potius διὰ τριῶν, valent enim: ἐὰν τὰσ τοῦ τείχουσ πύλασ ῥηξώμεθα τῶν Ἀχαιῶν εἰξάντων.

223. ἥμεσ] § 92.

225. *Non ordine a navibus eadem via abibimus*, i. e. *ne puta fore ut sine turbis eadem qua venimus via redeamus.* Valet ναῦφι genitivum h. l., ut Ξ 498; etiamne Θ 474 Σ 305? De pron. αὐτά cf. § 98. — Recte auguratur Polydamas; cf. Π 367—369.

228 sq. „Mihi si fidem non habes augurium interpretanti, quin age Helenum roga οἰωνοπόλων ὄχ' ἄριστον" (Ζ 76).

229. ϝειδείη τεράων] cf. Λ 657 sq.

231. Πολυδάμαν] § 21.

εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆσ ἀγορεύεισ,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένασ ὤλεσαν αὐτοί,
ὃσ κέλεαι Ζηνὸσ μὲν ἐριγδούποιο λαθέσθαι
βουλάων, ἅσ μ' αὐτὸσ ὑπέσχετο καὶ κατένευσε· — 236 cf. B 112
τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεισ
πείθεσθαι, τῶν οὔ τι μετατρέπομ' οὐδ' ἀλεγίζω, — 238 cf. A 160
εἴ τ' ἐπὶ δεξί' ἴωσι πρὸσ ἠόα τ' ἠέλιόν τε, — 239^{b} = ι 26 ν 240
εἴ τ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα. — 240^{b} = ν 241
ἠμεσ δὲ μεγάλοιο Διὸσ πειθώμεθα βουλῆι,
ὃσ πᾶσι θνητοῖσι καὶ ἀθανάτοισι ϝανάσσει.
εἷσ οἰωνὸσ ἄριστοσ, ἀμύνεσθαι περὶ πάτρησ. — 243^{b} cf. O 496 Ω 500
τίπτε σὺ δέδϝοικασ πόλεμον καὶ δηϊοτῆτα;
εἴ περ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντεσ
νηυσὶν ἔπ' Ἀργεΐων, σοὶ δ' οὐ δϝέοσ ἔστ' ἀπολέσθαι!
οὐ γάρ τοι κραδίη μενεδήϊοσ οὐδὲ μαχήμων.
εἰ δὲ σὺ δηϊοτῆτοσ ἀφέξεαι ἠέ τιν' ἄλλον
παρφάμενοσ ϝεπέεσσιν ἀποτρέψεισ πολέμοιο, — 249^{a} = β 189
αὐτίκ' ἐμῶι ὑπὸ δουρὶ τυπεὶσ ἀπὸ θυμὸν ὀλέσσεισ." — 250 cf. Λ 433

236. *βουλάων ἅσ μ'(οι)] βουλέων ἅσ τέ μοι. Cf. § 56 et 13. || 246. ἔπ'(ι)] sic (ἐπ') Ar., ὑπ' Zen. T. || 249. ἀποτρέψεισ T] -στρέψεισ Ω. Cf. Υ 256 et Λ 758.

236. Cf. vs. 164—166, 252 sq. H 478 Θ 170—176.

237. τύνη] *at*; de pronomine repetito cf. A 191.

238—240. Aves eae solae, quae ab oriente veniunt, omina sive bona sive mala praebere creduntur. Itaque si quis septentrionem versus spectat, — ut nunc Troiani, — aves, quas a parte *sinistra* sive ab *occidente* venire videt, impune potest neglegere; hae enim οὐκ ἐναίσιμοι ἔασι, ut Eurymachus loquitur β 182. Quae vero a parte *dextra* sive ab *oriente* veniunt, earum ratio ei est habenda. Hoc igitur est quod Hector ait: „aves nihili facio, sive dextrorsum volantes sive etiam — quas deorum voluntatem indicare tu credis — sinistrorsum, ut modo ista volabat aquila". Cf. vs. 201 et N 821. Alia est ratio versus υ 242.

239. ἠόα] § 77.

241. ἦμεσ] § 92.

243. οἰωνὸσ] cf. Ω 219.

248 sq. εἰ . . . ἀφέξεαι ἠὲ . . . ἀποτρέψεισ] futurum irati atque minantis (cf. A 64). In ultimo rerum discrimine Hector sodalem verbis vehementibus compescit intempestive cautum, ut Agamemnon Menestheum Ulixem Diomedem Δ 336—418, vel ut Minerva Diomedem E 800 sqq., neque aeque sic iudicantes neque ex animi sententia locuti, sed ipsa criminum dura iniquitate eos quos alloquuntur incitantes ad vires etiam magis intendendas.

ὣσ ἄρα φωνήσασ ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο — 251 sq.^{a} = N 833 sq.
ϝηχῆι θεσπεσίηι, ἐπὶ δὲ Ζεὺσ τερπικέραυνοσ — 251 = β 413 ϑ 46, 104
ὦρσεν ἀπ' Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν,
ἥ ῥ' ἰθὺσ νηῶν κονίην ἔφερ'· αὐτὰρ Ἀχαιῶν
'θέλγε νόον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδοσ ὄπαζε. — 255^b = O 327 Π 730
τοῦ περ δὴ τεράεσσι πεποιθότεσ ἠδὲ βίηφι
ῥήγνυσθαι μέγα τεῖχοσ Ἀχαιῶν 'πειρήτιζον.
κρόσσασ μὲν πύργων 'ϝέρυον καὶ ἔρειπον ἐπάλξισ
στήλασ τε προβλῆτασ ἐμόχλεον, ἃσ ἄρ' Ἀχαιοὶ
πρώτασ ἐν γαίηι 'θέσαν ἔμμεναι ἔχματα πύργων.
τὰσ οἵ γ' ἀϝϝέρυον, 'ϝέλποντο δὲ τεῖχοσ Ἀχαιῶν
ῥηξέμεν'. οὐδέ νύ πω Δαναοὶ 'χάζοντο κελεύθου, — 262 cf. Δ 504
ἀλλ' οἵ γε ῥινοῖσι βοῶν φράξαντεσ ἐπάλξισ
'βάλλον ἀπ' αὐτάων δηΐουσ ὑπὸ τεῖχοσ ἰόντασ.
ἀμφοτέρω δ' Αἴαντε κελευτιάοντ' ἐπὶ πύργων
πάντοσ' ἐφοιτήτην, μένοσ ὀτρύνοντεσ Ἀχαιῶν.
ἄλλον μειλιχίοισ', ἄλλον στερεοῖσι ϝέπεσσι
'νείκεον, ὅν τινα πάγχυ μάχησ μεθιέντα ϝίδοιεν·
„ὦ φίλοι, Ἀργεΐων ὅσ τ' ἔξοχοσ ὅσ τε μεσήεισ
ὅσ τε χερειότεροσ, — ἐπεὶ οὔ πω πάντεσ ὁμοῖοι

264. ἰόντασ] ἐόντασ C (cf. Δ 277). || 269. μεσήεισ] μεσηγὺσ Goebel.

254. De pulvere Achivis molestissimo cf. P 243.

257—259. Fossam transgressi Troiani vallum adoriuntur et turrium lapides atque ligna labefactant.

258. κρόσσασ] *pinnas* in summis turribus collocatas. Vox redit vs. 444 et apud Herodotum II 125. Cf. adiectivum πρόκροσσοι Ξ 35 *gradatim assurgentes. Scalas* intellegebat Ar., genitivum πύργων (coll. Δ 333 N 502) ad verbum trahens, parum probabiliter.

259. στήλασ] dicuntur *fundamenta lignea* vel *lapidea*, quae vs. 29 sunt commemorata.

262. ῥηξέμεν'(αι)] § 125.

— 'χάζοντο κελεύθου] de hac locutione cf. Λ 504.

264. δηΐουσ] § 17.

265. κελευτιάοντ'(ε)] § 191.

266. ἐφοιτήτην] § 195.

267. Cf. Verg. Aen. X 368: *nunc prece, nunc dictis virtutem accendit amaris.*

— -οῖσι ϝέπεσσι] § 60.

268. 'νείκεον] participio ὀτρύνοντεσ (vs. 266) adiunctum; cf. Γ 80.

269. μεσήεισ] †, *mediocris*. Insolita adiectivi forma, ut in ἀλγινόεισ, ὑψιπετήεισ, φαιδιμόεισ, ὀξυόεισ, λειριόεισ, al.; nam substantivorum, non adiectivorum stirpibus subiungi solet terminus -εισ

ἀνέρεσ ἐν πολέμωι, — νῦν ἔπλετο ϝέργον ἅπασι·
καὶ δ' αὐτοὶ τόδε που γιγνώισκετε. μή τισ ὀπίσσω
τετράφθω προτὶ νῆασ ὁμοκλητῆροσ ἀκούων, 273^{b} cf. Ψ 452
ἀλλὰ πρόσω ϝίεσθε καὶ ἀλλήλοισι κέλεσθε,
αἴ κε Ζεὺσ δώηισιν Ὀλύμπιοσ ἀστεροπητὴσ
νεῖκοσ ἀπωσαμένουσ δηΐουσ προτὶ ϝάστυ δίεσθαι.“
ὣσ τώ γε προβιβάντε μάχην ὤτρυνον Ἀχαιῶν.
τῶν δ', ὥσ τε νιφάδεσ χιόνοσ πίπτωσι θαμειαὶ
ἤματι χειμερίωι, ὅτε τ' ὤρετο μητιέτα Ζεὺσ
νιφέμεν', ἀνθρώποισι πιφανσκόμενοσ ἑϝὰ κῆλα· — 280^{b} = h. Ap. 444
κοιμήσασ δ' ἀνέμουσ χέει ἔμπεδον, ὄφρα καλύψηι
ὑψηλῶν ὀρέων κορυφὰσ καὶ πρώιονασ ἄκρουσ 282^{b} cf. Θ 557
καὶ πεδία λωτεῦντα καὶ ἀνδρῶν πίονα ϝέργα,
καί τ' ἐφ' ἁλὸσ πολιῆσ κέχυται λιμέσιν τε καὶ ἀκτῆι·
κῦμα δέ μιν προσπλάζον ἐρύκεται, ἄλλα δὲ πάντα
ϝεϝλύαται καθύπερθ', ὅτ' ἐπιβρίσηι Διὸσ ὄμβροσ· — 286^{b} = Ε 91
ὣσ τῶν ἀμφοτέρωσε λίθοι 'ποτάοντο θαμειαί,
αἳ μὲν ἄρ' εἰσ Τρῶασ, αἳ δ' ἐκ Τρώων ἐσ Ἀχαιούσ,
βαλλομένων· τὸ δὲ τεῖχοσ ὕπερ πᾶν δοῦποσ ὀρώρει.

οὐδέ κέ πω τότε γε Τρῶεσ καὶ φαίδιμοσ Ἕκτωρ

---

277. *προβιβάντε* Nauck] *προβοῶντε* *Ω*, sic et *προβάοντε* Ar.; cf. *βιβῶντα* pro *βιβάντα* traditum *Γ* 22 al. et v. l. *Ο* 307. ‖ 280. *ἑϝὰ*] cf. *Θ* 430. ‖ 281. *ἔμπεδον*] sic Ar., *ἄσπετον* Mass. ‖ 283. *λωτεῦντα*] sic Mass., *-τοῦντα* Ar. (= *λωτόεντα*). Cf. § 69. ‖ 284. *ἀκτῆι* vChrist] *ἀκταῖσ*. Cf. § 57. ‖ 285. *ἐρύκεται*] **ἐρύκακε*? Med. pro act. † (*Ψ* 443 *ϱ* 17 = *cunctari*). ‖ 286. *ϝεϝλύαται* (*εἰλ.*) C T] *εἰλῦται* A D. ‖ 289. *βαλλομένων*] *βαλλόντων* Brandreth.

---

276. δηΐουσ] § 17.

278—289. Eadem comparatio quae vs. 156—161.

280. πιφαυσκόμενοσ ἑϝὰ κῆλα] *tela sua ostendens*, quam ingens penes se sit copia missilium mortalibus monstrans.

283. λωτεῦντα] metro cogente sic nunc dicitur pro λωτόεντα. Cf. Ι 605 et § 69.

— ἀνδρῶν πίονα ϝέργα] *agros fertiles*; cf. Τ 131.

285. προσπλάζον] *litus feriens.*

— ἐρύκεται] *a se arcet* (liquefacit) nivem unda maris.

287 sq. Cf. vs. 159—161.

287. 'ποτάοντο] § 191 et 216.

289. βαλλομένων] *inter se telis missilibus petentium*, cum gen. τῶν iungendum. Non est gen. abs. (cf. Λ 458).

290—293. Cf. Π 558. — Sarpedon fortiter pugnando effecit ut mox Hector usque ad ipsam portam accedere et ingentis saxi iactu eam perfringere posset.

290. οὐδέ κε] § 326.

τείχεοσ ἐρρήξαντο πύλασ καὶ μακρὸν ὀχῆα, 291 cf. *N* 124
εἰ μὴ ἄρ' υἱὸν ἑϝὸν Σαρπηδόνα μητιέτα Ζεὺσ
ὦρσεν ἐπ' Ἀργείοισι, λέονθ' ὣσ βουσὶ ϝέλιξι.
αὐτίκα δ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐϝίσην, 294^b = *Φ* 581
καλὴν χαλκείην ἐξήλατον, ἣν ἄρα χαλκεὺσ
ἤλασεν, ἔντοσθεν δὲ βοείασ 'ράψε θαμείασ
ῥάβδοισι χρυσέηισι διηνεκέσιν περὶ κύκλον.
τὴν ἄρ' ὅ γε πρόσθε σχόμενοσ, δύο δοῦρε τινάσσων,
'βῆ ῥ' ἴμεν' ὥσ τε λέων ὀρεσίτροφοσ, ὅσ τ' ἐπιδευὴσ 299 cf. *K* 297 *P* 61 299^a = ζ 130
δϝηρὸν ἔηι κρεάων, κέλεται δέ ϝε θυμὸσ ἀγήνωρ 300^b cf. ζ 133
μήλων πειρήσοντα καὶ εἰσ πυκινὸν δόμον ἐλθεῖν· 301 = ζ 134
εἴ περ γάρ χ' εὕρηισι παρ' αὐτόθι βώτορασ ἄνδρασ
σὺν κυσὶ καὶ δούρεσσι φυλάσσοντασ περὶ μῆλα,
οὔ ῥά τ' ἀπείρητοσ μέμονε σταθμοῖο δίεσθαι,
ἀλλ' ὅ γ' ἄρ' ἢ ἥρπαξε μετάλμενοσ ἠὲ καὶ αὐτὸσ
ἔβλητ' ἐν πρώτοισι θοῆσ ἀπὸ χειρὸσ ἄκοντι. 306 cf. *Λ* 675

---

291. *μακρὸν ὀχῆα*] cf. vs. 121. || 295. *ἐξήλατον*] sic Zen. Nicanor, *ἐξήλατον* Ar., *ἐϋήλατον* Nauck. || 296. *ἤλασεν*] *ἐξέλασ* Zen. || 297. **ῥάβδοισι χρυσέηισι*] *χρυσείηισ* (-*οισ* D T) *ῥάβδοισι*. Cf. § 57, 18, 61. || 302. *αὐτόθι* Par.] *αὐτόφι* *Ω*. Cf. *N* 42 *T* 255 *Υ* 140 *Ψ* 147, 640. Similes controversiae sunt ξ 352 (*θύρηφι-θι*) ϱ 221 (*φλίψεται-θλίψ.*).

---

295. ἐξήλατον] †, *caelatum* (nos: *gedreven*).

296 sq. Aeream clipei laminam artifex corio subiecto per totam oram iunxit *clavis aureis* (*rivets*, nos: *klinknagels*). Qui clavi *virgae* nunc vocantur. In artis vetustae operibus cernuntur clipeorum imagines complures circa oram serie punctorum ornatae (cf. Heberdey ad Reichel Hom. Waffen [2]); quibus punctis indicari videntur capita clavorum quos diximus. Paullo aliter Brandreth Benndorf Reichel ῥάβδουσ interpretati sunt *fila aurea* per oram clipei ducta ad laminam aeream corio *assuendam* (cf. Λ 32 sq.), multangulam igitur figuram in superficie clipei efficientia. Cui explicationi favet sane verbum ῥάπτειν, versus vero χ 186, ubi ῥαφαὶ ἱμάντων clipei Laërtae solutae esse dicuntur, hanc interpretandi rationem commendare creditur quidem, non tamen revera commendat. Illic enim de *clipei* — vel potius *baltei* — *loris* inter se iunctis fit sermo, nostro vero loco de *aerea lamina* corio affixa. Quam ei *assuere*, artificis periti esse qui potuit? Neque veri simile est voci ῥάβδωι eiusmodi vim tribui potuisse; certe tributam esse demonstrari nequit. Quod autem *aurei* dicuntur hi ῥάβδοι, clavorum aereorum sola *capita* aurea (vel aurata) cogitanda sunt.

299—301. Imitatus est Vergilius Aen. IX 339 sq.

300. κρεάων] § 72.

304. δίεσθαι] *ruere*, non *persequi* vel *fugare* (ut alibi); cf. Ψ 475.

ὣσ ῥα τότ᾽ ἀντίθεον Σαρπηδόνα θυμὸσ ἀνῆκε
τεῖχοσ ἐπαΐξαι διά τε ῥήξασθαι ἐπάλξισ.
αὐτίκα δὲ Γλαῦκον προσέφη, παῖδ᾽ Ἱππολόχοιο·
„Γλαῦκε, τίη δὴ νῶϊ τετιμήμεσθα μάλιστα
ἕδρηι τε κρέασίν τε ἰδὲ πλείοισι δέπασσι — 311 = Θ 162
ἐν Λυκίηι, πάντεσ δὲ θεοὺσ ὣσ εἰσοράουσι; — 312b cf. ϑ 173 ο 520
καὶ τέμενοσ νεμόμεσθα μέγα Ξάνθοιο παρ᾽ ὄχθασ,
καλὸν φυταλιῆσ καὶ ἀρούρησ πυροφόροιο. — 314 = Z 195
τῶι νῦν χρὴ Λυκίοισι μέτα πρώτοισιν ἐόντασ — 315b sq. = Δ 341 sq.
ἑστάμεν᾽ ἠδὲ μάχησ καυστείρησ ἀντιβολῆσαι,
ὄφρα τισ ὣσ ϝείπηι Λυκίων πύκα θωρηκτάων· — 317b = Ο 689,739
‚οὐ μὰν ἀκλεέεσ Λυκίην κάτα κοιρανέουσι
ἡμέτεροι βασιλῆεσ, ἔδουσί τε πίονα μῆλα
ϝοῖνόν τ᾽ ἔξαιτον μελιϝηδέα· ἀλλ᾽ ἄρα καὶ ϝὶσ
ἐσθλή, ἐπεὶ Λυκίοισι μέτα πρώτοισι μάχονται.‘
ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε — [B 447
αἰεὶ δὴ μέλλοιμεν ἀγηράω ἀθανάτω τε — 323b = P 444 cf.
ἔσσεσθ᾽, οὔτε κεν αὐτὸσ ἐνὶ πρώτοισι μαχοίμην — 324 cf. I 709
οὔτε κε σὲ στέλλοιμι μάχην εἰσ κυδιάνειραν· — 325b = Δ 225
νῦν δ᾽ — ἔμπησ γὰρ κῆρεσ ἐφεστᾶσιν θανάτοιο
μυρίαι, ἃσ οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ᾽ ὑπαλύξαι, —
ἴομεν, ἠέ τιν᾽ εὖχοσ ὀρέξομεν ἠέ τισ ἡμῖν.“ — 328 cf. N 327
ὣσ ἔφατ᾽, οὐδὲ Γλαῦκοσ ἀπετράπετ᾽ οὐδ᾽ ἀπίθησε.
τὼ δ᾽ ἰθὺσ ᾿βήτην Λυκίων μέγα ϝέθνοσ ἄγοντε. — 330a = P 492
τοὺσ δὲ ϝιδὼν ᾿ρίγησεν υἱὸσ Πετεοῖο Μενεσθεύσ·
τοῦ γὰρ δὴ πρὸσ πύργον ἴσαν κακότητα φέροντεσ.
᾿πάπτηνεν δ᾽ ἀνὰ πύργον, Ἀχαιῶν εἴ τιν᾽ ἴδοιτο

---

311. *πλείοισι δέπασσι* § 60] *-οισ δεπάεσσι.* || 317. *ὣσ* (*ὥσ*) Bentley] *ὧδ᾽.* || 318. *ἀκλεέεσ* Ambr. I 181 Par. 1805 Vat. 26] *ἀκληεῖσ* (vel *-ειεῖσ*) *Ω*, Ar. „*ἀκλεεσ*“ (leg. *ἀκλεέεσ*?). Cf. § 73. || 323. *ἀγηράω* § 62] *ἀγήρω τ᾽*. Cf. *B* 447. || 325. *εἰσ*] *ἀνὰ* C (ut *N* 270 *Ξ* 155). || 328. Olim addebant quidam: *δώσει ἀποκτάμενοσ κλυτὰ τεύχεα καὶ δόρυ μακρόν.* || 331. (᾿)*ρίγησεν* C[1]] *ῥίγησ᾽ Ω*. Cf. § 17. — *Πετεοῖο*] cf. *B* 552. || 333. *πύργον*] vox e versu proximo repetita videtur; **μέσσον*? Bekker *τεῖχοσ* (ut vs. 352). — *ἴδοιτο*] neglecto *ϝ*.

---

310 sq. Cf. Δ 262 sq.
311. -οισι δέπασσι] § 60.
312. εἰσοράουσι] § 191.
320. ἔξαιτον] simile γερούσιοσ vini principibus dati est epitheton Δ 259.
323. ἀγηράω] § 62.
328. ἴομεν] § 22.
— τιν᾽(ι)] § 99.

ἡγεμόνων, ὅσ τίσ ϝοι ἀρὴν ἑτάροισιν ἀμύναι· 334ᵇ cf. Π 512
εἰσ δ' ἐνόησ' Αἴαντε δύω, πολέμοι' ἀκορήτω,
ἑσταότασ, Τεῦκρόν τε, νέον κλισίηθεν ἰόντα,
ἐγγύθεν. ἀλλ' οὔ πώσ ϝοι ἔεν βώσαντι γεγωνεῖν,
τόσσοσ γὰρ κτύποσ ἦεν, ἀϋτὴ δ' οὐρανὸν ἷκε 338ᵇ = Β 153
βαλλομένων σακέων τε καὶ ἱπποκόμων τρυφαλειῶν
καὶ πυλέων· πάσασ γὰρ ἐπώιχετο, τοὶ δὲ κατ' αὐτὰσ
ἱστάμενοι πειρῶντο βίηι ῥήξαντεσ ἐσελθεῖν.
αἶψα δ' ἐπ' Αἴαντε προΐει κήρυκα Θοώτην·
„ἔρχεο, δῖε Θοῶτα, θέων Αἴαντε κάλεσσον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων 344 = 357
εἴη, ἐπεὶ τάχα τῆιδε τετεύξεται αἰπὺσ ὄλεθροσ· 345 cf. 358
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάροσ περ 346 sq. = 359 sq.
ζαχραέεσ τελέθουσι κατὰ κρατερὰσ ὑσμίνασ.
εἰ δέ σφιν καὶ κεῖθι πόνοσ καὶ νεῖκοσ ὄρωρε, 348 cf. 361
ἀλλά περ οἶοσ ἴτω Τελαμώνιοσ ἄλκιμοσ Αἴασ, 349 sq. = 362 sq.
καί ϝοι Τεῦκροσ ἅμ' ἑσπέσθω τόξων εὖ ϝειδώσ." 350ᵇ = Β 718
ὣσ ἔφατ', οὐδ' ἄρα ϝοι κῆρυξ ἀπίθησεν ἀκούσασ, 351 = Δ 198
'βῆ δὲ θέειν παρὰ τεῖχοσ Ἀχαιῶν χαλκοχιτώνων,
'στῆ δὲ παρ' Αἰάντεσσι κιών, εἶθαρ δὲ προσηύδα· 353 cf. Ρ 707
„Αἴαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων, 354 = Δ 285

---

334. ἀμύναι] ἀλάλκοι Nauck (coll. Φ 539), item Ο 736. Cf. § 113. || 337. βώσαντι] βοάοντι Knight. Cf. ε 400 et § 192. — γεγωνεῖν] sic Ar., γεγώνειν Ptolemaeus Asc.; cf. § 260. || 339. τρυφαλειῶν] *κυνεάων? Cf. Γ 336 Π 793—795 al. et § 56. || 340. πάσασ γὰρ ἐπωίχετο] sic Zen., πᾶσαι γὰρ ἐπωίχατο A Ar. (interpretatus ἐπέκειντο: *tota porta clausa erat*, cf. Β 809). Apoll. lex. ἐπώχατο (cf. συνοκωχότε Β 218, συνωχαδόν Hes. Theog. 690). Verba corrupta aut spuria; Duentzer del. vs. 340 sq. || 342 sq. Αἴαντε Zen. Syr.] -ντα Ω (cf. Κ 53). || 347 et 360. ζαχραέεσ § 73] ζαχρηεῖσ. || 348. καὶ κεῖθι] sic Ar., κἀκεῖσε Zen. (ὧδε vs. 346 interpretatus δεῦρο, cf. § 49). || 350. Aristoph. Ar. —, item vs. 363 Ar. || 350 et 363. ἅμ' ἑσπέσθω] ἅμα σπέσθω Syr. A² H. || 352. παρὰ A] κατὰ Ω.

---

335. πολέμοι'(ο)] § 59.

336. Lapide percussus erat Teucer; cf. Θ 328.

337 sq. Nempe Menestheus non erat βοὴν tam ἀγαθὸσ quam Menelaus vel Ulixes.

337. ἔεν] § 302.

339 sq. Gravem sonum dederunt saxis variisque telis missilibus percussa scuta et galeae nec non valvae portae (si quidem sanum est portae nomen).

340. πυλέων] § 56.

— πάσασ γὰρ ἐπώιχετο] verba obscura (cf. nota crit.). Quae δ 451 optime habent.

342. ἐπ'(ί)] cf. Β 808.

344 et 357. ὃ γάρ] § 101.

ἤνωγεν Πετεοῖο διοτρεφέοσ φίλοσ υἱὸσ
κεῖσ' ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάσητον,
ἀμφοτέρω μὲν μᾶλλον, ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων 357 = 344
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺσ ὄλεθροσ· 358 cf. 345
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάροσ περ 359 sq. = 346 sq.
ζαχραέεσ τελέθουσι κατὰ κρατερὰσ ὑσμίνασ.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμοσ καὶ νεῖκοσ ὄρωρε, 361 cf. 348
ἀλλά περ οἶοσ ἴτω Τελαμώνιοσ ἄλκιμοσ Αἴασ, 362 sq. = 349 sq.
καί ϝοι Τεῦκροσ ἅμ' ἑσπέσθω τόξων ἐῢ ϝειδώσ."
ὣσ ἔφατ', οὐδ' ἀπίθησε μέγασ Τελαμώνιοσ Αἴασ.
αὐτίκ' Ὀϊλεΐδην ϝέπεα πτερόεντα προσηύδα·
„Αἶαν, σφῶϊ μὲν αὖθι, σὺ καὶ κρατερὸσ Λυκομήδησ,
ἑσταότεσ Δαναοὺσ ὀτρύνετε ϝῖφι μάχεσθαι·
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιάω πολέμοιο. 368 = Ν 752
αἶψα δ' ἐλεύσομαι αὖτισ, ἐπεί κ' ἐῢ τοῖσ' ἐπαμύνω." 369 cf. Ν 753
ὣσ ἄρα φωνήσασ ἀπέβη Τελαμώνιοσ Αἴασ,
καί ϝοι Τεῦκροσ ἅμ' ἤιε κασίγνητοσ καὶ ὄπατροσ· 371[b] cf. Λ 257
τοῖσ δ' ἅμα Πανδίων Τεύκρου 'φέρε καμπύλα τόξα.
εὖτε Μενεσθῆοσ μεγαθύμου πύργον ἵκοντο

355. ἤνωγεν § 225] ἠνώγει. — Πετεοῖο] cf. Β 552. || 359. ὧδε] sic Ar., κεῖσε Zen. (cf. vs. 348). || 365. Ὀϊλεΐδην Knight] Ὀϊλιάδην Ω, ἄρ' Ἰλιάδην Zen., item Ν 203, 712 Ψ 759; cf. Β 527. Error redit Ν 203, 712 Ξ 446 Π 330 Ψ 759. || 366. σφῶϊ] σφῶε Zen. (cf. § 92). || 367. ὀτρύνετε Bentley] -τον. || 368. κεῖσ'] κεῖθ'(ι) Zen.; cf. Λ 528. || 372. τοῖσ δ' ἅμα] τοῖσι δὲ Nauck, an *τοῖσ' ἅμα? Cf. § 60. Ar. versum —

368. ἀντιάω] § 191.

369. ἐπεί κ'(ε)] § 326.

371. κασίγνητοσ καὶ ὄπατροσ] eadem locutio est Λ 257. Adiectivum ὄπατροσ sive *eodem patre natus* (cf. ὄτριχεσ Β 765) non nisi his duobus locis legitur. Prius autem nomen *eadem matre natum* significat (cf. Γ 238); non fecit igitur poeta Teucrum Telamonis filium nothum, ut recentiores, sed eandem quam Aiaci matrem ei tribuit; cf. Θ 330 Ο 436—439. Itaque non congruit Θ 284. *Nothum* autem filium Homerus non *Telamoni* sed *alterius* Aiacis patri *Oileo* tribuit *Medontem* (cf. Β 727 Ν 694 sq. = Ο 333 sq.), virum proprio igitur nomine carentem (cf. Υ 215—241). Ipse vero Teucer primitus neque germanus Aiacis Telamonii frater neque nothus sed revera Aiax quidam alter fuit (cf. Ν 198—202).

— ἤιε] § 308.

372. *Pandion* heros Atticus, qui h. l. Teucro sociatur (cf. Ο 431 sq.), arcum Teucri ideo fert, quod ipse Teucer nunc tenet *hastam* (cf. Ν 177). Mox tamen Pandion arcum Teucro tradidit, hic enim eo usus est (cf. vs. 387 sq., 400).

τείχεοσ ἐντὸσ ἰόντεσ, — ἐπειγομένοισι δ' ἵκοντο, —
οἳ δ' ἐπ' ἐπάλξισ 'βαῖνον ἐρεμνῆι λαίλαπι ϝῖσοι, 375ᵇ cf. Υ 51
ἴφθιμοι Λυκίων ἡγήτορεσ ἠδὲ μέδοντεσ·
σὺν δ' ἐβάλοντο μάχεσθαι ἐναντίον, ὦρτο δ' ἀϋτή.
Αἴασ δὲ πρῶτοσ Τελαμώνιοσ ἄνδρα κατέκτα, 378 cf. Ν 170 378ᵃ = Ζ 5
Σαρπήδοντοσ ἑταῖρον, 'Επικλέεα μεγάθυμον,
μαρμάρωι ὀκριόεντι βαλών, ὅ ῥα τείχεοσ ἐντὸσ 380ᵃ = ι 499 cf. Π 735
'κεῖτο μέγασ παρ' ἔπαλξιν ὑπέρτατοσ· οὔ κέ ϝε ῥεῖα
χείρεσσ' ἀμφοτέρηισ' ἔχοι ἀνήρ, οὐδὲ μάλ' ἡβῶν, 382ᵃ cf. Σ 123 δ 116 382ᵇ = Ω 565 ψ
οἷοι νῦν βροτοί εἰσ'· ὃ δ' ἄρ' ὑψόθεν ἔμβαλ' ἀείρασ, 383ᵃ = Ε 304 [187 [sq.
'θλάσσε δὲ τετράφαλον κυνέην, σὺν δ' ὀστέ' ἄραξε 384ᵇ sq. = μ 412
πάντ' ἄμυδισ κεφαλῆσ. ὃ δ' ἄρ' ἀρνευτῆρι ϝεϝοικὼσ 384ᵇ cf. Ψ 673 ε 385ᵇ = 742 [426
κάππεσ' ἀφ' ὑψηλοῦ πύργου, 'λίπε δ' ὀστέα θυμόσ. 386 cf. Π 743 μ 414
Τεῦκροσ δὲ Γλαῦκον, κρατερὸν παῖδ' Ἱππολόχοιο, 386ᵇ = γ 455 cf. Υ 406 λ 221
ἰῶι ἐπεσσυμένον 'βάλε τείχεοσ ὑψηλοῖο, 388 cf. Π 511 sq.ᵃ
ἧι 'ϝίδε γυμνωθέντα βραχίονα, 'παῦσε δὲ χάρμησ.
ἂψ δ' ἀπὸ τείχεοσ ἆλτο λαθών, ἵνα μή τισ Ἀχαιῶν
βλήμενον ἀθρήσειε καὶ εὐχετάοιτο ϝέπεσσι.
Σαρπήδοντι δ' ἄχοσ 'γένετο Γλαύκοι' ἀπιόντοσ,
αὐτίκ' ἐπεί τ' ἐνόησεν· ὅμωσ δ' οὐ 'λήθετο χάρμησ,
ἀλλ' ὅ γε Θεστορίδην Ἀλκμάονα δουρὶ τυχήσασ

---

374. ἐπειγομένοισι] ἐελδομένοισι T (ut Η 7). || 379. 'Επικλέεα] 'Οϊκλῆα Apoll. lex. || 381. οὔ κέ ϝε ῥεῖα Menrad] οὐδέ κέ μιν ῥέα (H ῥεῖα, D om. κε). Cf. Υ 101 et § 8, 81[1]. Brandreth οὐδέ κε ῥεῖα | χειρί ϝε τῆι ἑτέρηι φέροι ἀνήρ (Nauck χερσί μιν ἀμφοτέρηισιν ἀνὴρ ἔχοι). || 382. χείρεσσ' ἀμφοτέρηισ' ἔχοι] sic Ar., χειρί γε τῆι ἑτέρηι φέροι A. || 383. ὃ δ' ἄρ' ὑψόθεν ἔμβαλ' ἀείρασ] ὁ δέ μιν ῥέα πάλλε καὶ οἶοσ l. a. in A (ut vs. 449). — δ' ἄρ'(α)] δέ ϝ' Brandreth. || 385. δ' ἄρ' ἀρνευτῆρι] ἄρ' om. T L, δαρανευτηρι Syr., δὲ ϝαρνευτῆρι Knight. || 386. ἀφ' ὑψηλοῦ] ἀπ' εὐεργέοσ l. a. in A (ut Π 743). || 389. ἧι Bentley] ἧι ῥ'. || 393. ὅμωσ] *ἔμπησ? quae particula sententiam aperit Ε 191 τ 302. Lehrs ὃ δ' οὐδ' ὥσ, Duentzer ἀλλ' οὐδ' ὥσ (propter ὅ γε quod sequitur probabilius). Cf. § 319 et λ 565.

---

375. ἐρεμνῆι λαίλαπι] cf. Λ 306.

381. παρ' ἔπαλξιν] de his vallis cf. vs. 398 sq.

382 sq. *Saxum, quale nostrorum aequalium aliquis ambabus manibus tenere vix possit, Aiax id (altera manu) torsit in hostes.* Simile roboris ingentis documentum mox edidit Hector vs. 447—449.

384. τετράφαλον] de hoc epitheto cf. Ε 743 sq.

388. ἐπεσσυμένον . . . τείχεοσ] verbum non nisi h. l. et parallelo adsciscit genitivum.

391. εὐχετάοιτο ϝέπεσσι] εὐχετόωιτ' ἐπέεσσι Ω. De verbi autem termino cf. § 191.

392. Γλαύκοι'(ο)] § 59.

'νύξ', ἐκ δ' ἔσπασεν ἔγχοσ, ὃ δ' ἑσπόμενοσ 'πέσε δουρὶ 395a = N 178 395b cf. N 570
πρηνήσ, ἀμφὶ δέ ϝοι 'βράχε τεύχεα ποικίλα χαλκῶι. 396b = N 181 Ξ 420
Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῆισι 397b = δ 506 ϑ 84
εἷλχ'· ἣ δ' ἕσπετο πᾶσα διαμπερέσ, αὐτὰρ ὕπερθε
τεῖχοσ ἐγυμνώθη, πολέεσσι δὲ 'θῆκε κέλευθον.
τὸν δ' Αἴασ καὶ Τεῦκροσ ὁμαρτήσανθ' ὃ μὲν ἰῶι
'βεβλήκει τελαμῶνα περὶ στήθεσφι φαεινὸν 401 cf. B 388
ἀσπίδοσ ἀμφιβρότησ, — ἀλλὰ Ζεὺσ κῆρασ ἄμυνε 402a = B 389
παιδὸσ ἑϝοῦ, μὴ νηυσὶν ἔπι πρυμνῆισι δαμείη, —
Αἴασ δ' ἀσπίδ' ἔνυξεν ἐπάλμενοσ, οὐδὲ διὰ πρὸ 404 cf. H 260
ἤλυθεν ἐγχείη, 'στυφέλιξε δέ μιν μεμαῶτα. 405 = H 261
'χώρησεν δ' ἄρα τυτθὸν ἐπάλξιοσ, οὐδ' ὅ γε πάμπαν
'χάζετ', ἐπεί ϝοι θυμὸσ ἐϝέλδετο κῦδοσ ἀρέσθαι.
'κέκλετο δ' ἀντιθέοισι ϝελιξάμενοσ Λυκίοισι· 408 cf. Π 421
„ὦ Λύκιοι, τί τ' ἄρ' ὧδε μεθίετε θούριδοσ ἀλκῆσ; 409b = Δ 234
ἀργαλέον δέ μοί ἐστι, καὶ ἰφθίμωι περ ἐόντι, 410 = Υ 356 410a = P 252
μούνωι ῥηξαμένωι θέσθαι παρὰ νηυσὶ κέλευθον. 411 cf. 418
ἀλλ' ἐφομαρτέετε· πλεόνων τοι ϝέργον ἄμεινον." 412a cf. Θ 191
ὣσ ἔφαθ', οἳ δὲ ϝάνακτοσ ὑποδϝεισαντεσ ὁμοκλὴν 413 = Ψ 417, 446 cf. Ω 265
μᾶλλον ἐπέβρισαν βουληφόρον ἀμφὶ ϝάνακτα,
Ἀργεῖοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγασ 415 = Δ 215
τείχεοσ ἔντοσθεν. μέγα δέ σφισι 'φαίνετο ϝέργον· 416 cf. Δ 734 416b cf. χ 149
οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο

401. *στήθεσφι* A D T] *-σσι* C (cf. *B* 388). || 404. *ἔνυξεν ἐπάλμενοσ*] cf. *H* 260. — *οὐδὲ* Ar. D] *ἠ δὲ* A C T. || 406. *'χώρησεν*] *-σαν* A C[1] D. || 407. *ἐ(ϝ)έλδετο* Syr.] *ἐέλπετο* Ar. A D, *ἐβούλετο* T. Cf. *δ* 162. || 412. *ἐφομαρτέετε*] *-τεῖτε* vel *-τεῖτον* (ut *Θ* 191; cf. § 52) *Ω*, *ἐφαμαρτεῖτε* Ar. (cf. § 319). — *τοι* Hoffmann] *δέ τοι* (*τι*, *τ'*) *Ω*, *δέ τε* Bentley.

398 sq. Sunt igitur ἐπάλξιεσ sive *valli* summo aggeri haud ita celso infixi; cf. vs. 380 sq. al. — Verbi ἔθηκε subiectum aut ἔπαλξισ est (si verba αὐτὰρ — ἐγυμνώθη in parenthesi sunt collocata) aut *Sarpedon*. Hoc verum videtur collato vs. 411. Vallus evulsus Troianis aditum praebuit; quo aditu nondum tamen sunt usi.

400. Cf. Γ 211.

402. ἀσπίδοσ ἀμφιβρότησ] cf. Λ 32 sq.

403. παιδὸσ] cf. Δ 11.

406. ὅ γε] cf. A 190.

411 et 418. παρὰ νηυσὶ] *apud naves*, insolite dictum pro: *qua ad naves perveniatur.*

416. μέγα σφισι 'φαίνετο ϝέργον] *magna contentio pugnantibus* (Troianis et Achivis) *movebatur*. Verbum φαίνεσθαι etiam Π 207 al. sic adhibitum.

τεῖχοσ ῥηξάμενοι θέσθαι παρὰ νηυσὶ κέλευθον, 418 cf. 411
οὔτε ποτ' αἰχμηταὶ Δαναοὶ Λυκίουσ ἐδύναντο
τείχεοσ ἂψ ὤσασθαι, ἐπεὶ τὰ πρῶτ' ἐπέλασθεν. 420 cf. *O* 418
ἀλλ' ὥσ τ' ἀμφ' οὔροισι δύ' ἀνέρε δηριάεσθον,
μέτρ' ἐν χερσὶν ἔχοντε, ἐπιξύνωι ἐν ἀρούρηι,
ὥ τ' ὀλίγωι ἐνὶ χώρωι ἐρίζητον περὶ ϝίσησ,
ὣσ ἄρα τοὺσ διέϝεργον ἐπάλξιεσ· οἱ δ' ὑπὲρ αὐτέων 424ᵇ=Hes. Scut. 237
'δήιοον ἀλλήλων ἀμφὶ στήθεσφι βοείασ, 425sq.=*E* 452 sq.
ἀσπίδασ εὐκύκλουσ λαισήϊά τε πτερόεντα.
πολλοὶ δ' οὐτάζοντο κατὰ χρόα νηλέϊ χαλκῶι,
ἠμὲν ὅτωι στρεφθέντι μετάφρενα γυμνωθείη
μαρναμένων, πολλοὶ δὲ διαμπερὲσ ἀσπίδοσ αὐτῆσ.
πάντηι δὴ πύργοι καὶ ἐπάλξιεσ αἵματι φωτῶν
ἐρράδατ' ἀμφοτέρωθεν ἀπὸ Τρώων καὶ Ἀχαιῶν.
ἀλλ' οὐδ' ὣσ ἐδύναντο φόβον ποιῆσαι Ἀχαιῶν,
ἀλλ' ἔχον ὥσ τε τάλαντα γυνὴ χερνῆτισ ἀληθήσ,
ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶσ ἀνέλκει
ϝισάζουσ', ἵνα παισὶν ἀϝεικέα μισθὸν ἄρηται.

---

422. *ἔχοντε*] *-ντεσ Ω.* || 423. *ὀλίγωι ... χώρωι*] *-γηι ... -ρηι* Zen. (ut *P* 394). — *ϝίσησ*] *νίκησ* Apoll. lex. || 424. *αὐτέων*] *αὐτάων* D L (cf. § 56). — In G L subiungitur versus: *βάλλον ἀμυνόμενοι χαλκήρεσιν ἐγχείῃσιν* (ex Σ 534; cf. ι 55). || 425. *στήθεσφι* T] *-σσι Ω.* Cf. vs. 401. || 428. *ὅτωι*] *ὅτεωι* Zen.; **ὅτε*? Cf. § 102. || 433. *ἀληθήσ*] *ἀλῆτισ* (*mendica*) Apoll. lex. || 435. *ἀϝεικέα*] sic (*ἀεικέα* et *ἀνεικέα* = *ἄνευ νείκουσ*) et *ἀμεμφέα* Ar.

---

420. τείχεοσ ἂψ] cf. Σ 138.

421 sq. Disputant duo viri ἀμφ' οὔροισι sive de *terminis* in agro communi collocatis (cf. Κ 351—353), quibus indicantur partes agri singulis arandae. Cf. Φ 405 et de forma δηριάεσθον § 191.

425. 'δήιοον] cf. § 191.

426. λαισήϊα] cf. Ε 453.

433—436. Imitatus est Vergilius Aen. VIII 408—413, apud nostrum autem poetam et alia imagine eadem res illustratur Ο 410—413.

433. ἔχον] verbum intransitivum est ut passim (cf. Κ 263 sq.); post γυνή vero mente supplendum est ἔχει transitivum (ut ἔχουσα vs. 434). — χερνῆτισ] †, muliercula *quae nendo* (χείρ, νέειν) *vitam sustentat.* Cf. vs. 435. — ἀληθήσ] *diligens*, i. q. postea ἀκριβήσ. Ceteris locis adi. *vere dicta* significat.

434. σταθμὸν] *pondus* h. l. valet vox, quae ceteris locis *postem* vel *stabulum* significat. Mulier bilancem vel unilancem ἀνέλκει (cf. Θ 72), ab altera parte pondus habentem, ab altera pensum.

435. Accurate et anxia fere cura mulier lanifica opus iusto ponderi aequat, neque inique agens — est

ὣσ μὲν τῶν ἐπὶ ϝῖσα μάχη 'τέτατο πτόλεμόσ τε, 436 = cf. Δ 336
πρίν γ' ὅτε δὴ Ζεὺσ κῦδοσ ὑπέρτερον Ἕκτορ' ἔδωκε
Πριαμίδηι, ὃσ πρῶτοσ ἐσήλατο τεῖχοσ Ἀχαιῶν. 438 cf. Π 558
ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώσ· 439 = N 149 cf. Θ 227
„ὄρνυσθ', ἱπποδάμοι Τρῶεσ, ῥήγνυσθε δὲ τεῖχοσ 440ᵃ = Δ 509
Ἀργείων καὶ νηυσὶν ἐνίετε θεσπιδαὲσ πῦρ."
ὣσ 'φάτ' ἐποτρύνων, οἳ δ' οὔασι πάντεσ ἄκουον, 442ᵃ = Υ 364,373
ἴθυσαν δ' ἐπὶ τεῖχοσ ἀϝολλέεσ. οἳ μὲν ἔπειτα
κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ' ἔχοντεσ, 444ᵇ = P 412
Ἕκτωρ δ' ἁρπάξασ λᾶαν 'φέρεν, ὅσ ῥα πυλάων
εἱστήκει πρόσθε πρυμνόσ, παχύσ, αὐτὰρ ὕπερθε
ὀξὺσ ἔεν· τὸν δ' οὔ κε δύ' ἀνέρε δήμου ἀρίστω 447ᵇ = Δ 328
ῥηϊδίωσ ἐφ' ἅμαξαν ἀπ' οὔδεοσ ὀχλίσσειαν, 448ᵇ = ι 242
449 οἷοι νῦν βροτοί εἰσ'· ὃ δέ μιν ῥέα 'πάλλε καὶ οἶοσ. 449 = E 304
451 ὡσ δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενοσ οἰὸσ
χειρὶ λαβὼν ἑτέρηι, ὀλίγον τέ μιν ἄχθοσ ἐπείγει,

---

450 *τόν ϝοι ἐλαφρὸν ἔθηκε Κρόνου πάϊσ ἀγκυλόμητισ.* 450 cf. B 319

---

437. *ὑπέρτερον*] *-τατον* Ambr. || 442. *'φάτ'(ο)*] *ἔφατ'* A T; *ἔφατ' ὀτρύνων*? Quod alibi non invenitur, sed cf. *O* 270 al. || 444. *ἀκαχμένα δούρατ' ἔχοντεσ*] *ἐπεὶ θεοῦ ἔκλυον αὐδήν* (ut *O* 270) Zen., *ἤϋσεν* igitur vs. 439 de *Iove* dictum ratus (item Ar.). || 448. *ὀχλίσσειαν*] *ὀχλήσειαν* D; eadem varietas est *Ω* 567 *ι* 242 *ψ* 188. Cf. *Φ* 261 et § 144. || 449. *μιν ῥέα*] *ῥεῖά ϝε*? Cf. *M* 381 et § 88[1]. || 450. Zen. om., Aristoph. Ar. —. Versus proximo parum apte subiunctus. — *ἀγκυλόμητισ* § 55 et 83[10]] *-μήτεω*. || 451. *φέρει*] sic Ar., *φέροι* T (cf. vs. 465).

---

enim proba et novit herae diligentiam — neque vero larga manu lancem cumulans, cupit enim tenuem mercedem quam primum auferre, ut liberis cibum praebere possit. Non de *ancilla* fit sermo, sed de muliere *libera*, mercede conducta, quales mulieres vocabantur ἔριθοι (cf. Σ 550). Verbum ϝισάζειν †, sed cf. ϝισάσκεσθαι Ω 607 et ϝισώσασθαι η 212. Adi. ἀϝεικέα non male reddiderit quis: ὀλίγον τε φίλον τε, *tenuem quidem* (cf. Ω 594), *ipsi tamen gratum.*

436. Cf. Λ 72.

437. κῦδοσ ὑπέρτερον] de hac locutione cf. Λ 290.

438. Cf. Π 558.

439. ἤϋσεν] *Hector.* Zen. intellegebat *Iovem* (cf. vs. 444); etiamne Ar.? Sic dicitur sane in scholio, sed nonne id corruptum?

— γεγωνώσ] § 260.

442. οὔασι . . . ἄκουον] cf. A 587.

444. κροσσάων] cf. vs. 258.

446. πρυμνόσ] *aggeris fundamento appositus.*

447—449. Cf. vs. 382 sq. et Verg. Aen. XII 899—901.

447. ἔεν] § 302.

— δήμου] cf. B 198.

451—453. Cf. similis hyperbola Ψ 845—847.

ὣσ Ἕκτωρ ἰθὺσ σανίδων ’φέρε λᾶαν ἀείρασ,
αἵ ῥα πύλασ εἴρυντο πύκα στιβαρῶσ ἀραρυίασ,
δικλίδασ ὑψηλάσ· δοιοὶ δ’ ἔντοσθεν ὀχῆεσ
εἶχον ἐπημοιβοί, μία δὲ κληῒσ ἐπαρήρει.
’στῆ δὲ μάλ’ ἐγγὺσ ἰών, καὶ ἐρεισάμενοσ ’βάλε μέσσασ, 457a = Δ 496
εὖ διαβάσ, ἵνα μή ϝοι ἀφαυρότερον βέλοσ εἴη·
’ρῆξε δ’ ἀπ’ ἀμφοτέρουσ θαιρούσ, ’πέσε δὲ λίθοσ εἴσω
βριθοσύνηι, μέγα δ’ ἀμφὶ πύλαι ’μύκον, οὐδ’ ἄρ’ ὀχῆε
ἐσχεθέτην, σανίδεσ δὲ διέτμαγεν ἄλλυδισ ἄλλη
λᾶοσ ὑπὸ ῥιπῆσ. ὃ δ’ ἄρ’ εἴσθορε φαίδιμοσ Ἕκτωρ 462a = Θ 192
νυκτὶ θοῆι ἀτάλαντοσ ὑπώπια· ’λάμπε δὲ χαλκῶι
σμερδαλέωι, τὸν ἕϝεστο περὶ χροΐ, δοιὰ δὲ χερσὶ
δοῦρ’ ἔχεν. οὔ κέν τίσ μιν ἐρύκακεν ἀντιβολήσασ
νόσφι θεῶν, ὅτ’ ἐσᾶλτο πύλασ, πυρὶ δ’ ὄσσ’ ἐδεδήει.
’κέκλετο δὲ Τρώεσσι ϝελιξάμενοσ καθ’ ὅμιλον
τεῖχοσ ὑπερβαίνειν, τοὶ δ’ ὀτρύνοντ’ ἐπίθοντο·
αὐτίκα δ’ οἳ μὲν τεῖχοσ ὑπέρβασαν, οἳ δὲ κατ’ αὐτὰσ
ποιητὰσ ἐσέχυντο πύλασ. Δαναοὶ δ’ ἐφόβηθεν
νῆασ ἀνὰ γλαφυράσ, ὅμαδοσ δ’ ἀλίαστοσ ἐτύχθη. 471 = Π 296

---

454. *εἴρυντο*] *ἐρύοντο* Knight (cf. § 164). || 457. *δὲ μάλ’ ἐγγὺσ*] *δ’ ἄρ’ ἐπ’ οὐδὸν* l. a. in A. || 459. *ἀπ’(ὸ)* A] *ἐπ’* Syr. C, om. D. || 460. *ὀχῆε*] *-εσ* Ω. || 465. *ἐρύκακεν* Ar.] *-κάκοι* Ω. quod praesentis historici est (cf. comment. ad Δ 223), hic igitur propter *ἐσᾶλτο* quod sequitur ferri nequit. || 468. *ὀτρύνοντ’(ι)*] sic Ar., olim alii *-ναντι* (cf. β 422).

---

456. ἐπημοιβοί] vox redit ξ 513, cf. θ 249 et ἀμείβοντεσ Ψ 712. Vectes eo loco, ubi se excipiunt, coniungit κληῒσ sive *sera* transfixa. Hanc *eximere* est ἀνιέμεναι sive *relaxare* πύλασ, tunc enim ὀχῆεσ possunt ἀπωθέεσθαι, Φ 537.

458. ἀφαυρότερον] *minus validum* (quam si bene cruribus innisus id torqueret). Ceteris locis ἄφαυροσ *hominum* est epitheton, nunc vero ad ipsius iactus impetum transfertur. Cf. Λ 574.

459. θαιρούσ] †, *cardines* liminibus superiori et inferiori insertos. Qui cardines cum unam virgam (aeneam vel ferream) per totam ianuam transeuntem efficiebant, στρόφιγξ ea postea certe vocabatur (cf. Dittenb. Syll.[2] 587[146] al.).

461. ἐσχεθέτην] cf. Π 340.

463. νυκτὶ θοῆι] cf. Κ 394.

— ὑπώπια] †, *vultum*; cf. Α 47 ὃ δ’ ἤϊε νυκτὶ ϝεϝοικώσ. Proprie: *quae sunt sub oculis* sive faciei pars inferior. Alia apud posteros est vocis vis (cf. Ar. Vesp. 1386 al.).

465. οὔ κεν] § 326.

466. ὄσσ’(ε) ἐδεδήει] cum verbi numero singulari dualis subiecti etiam (Ρ 681?) Ψ 477 ζ 132 (Ν 617 Τ 17) sic coniungitur; cf. § 52.

